www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΓΕΩΡΓΙΟΥ

## ΤΟΥ ΕΝ ΙΩΑΝΝΙΝΟΙΣ, ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΕΝ Ἧ ΠΡΟΣΕΤΕΘΗ

## Ο ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
ΚΑΙ
## ΤΟ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ

Ποιηθέντα ἐν Ἁγίῳ Ὄρει
ὑπὸ **Γερασίμου** Μοναχοῦ **Μικραγιαννανίτου**
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

Ἐκδίδονται προνοίᾳ
τοῦ Σεβασμιωτάτου Μητροπολίτου Ἰωαννίνων
**ΣΕΡΑΦΕΙΜ**

Ἐγκρίσει
τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

ΕΝ ΙΩΑΝΝΙΝΟΙΣ 1965

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Ο ΑΓΙΟΣ ΝΕΟΜΑΡΤΥΣ

# ΓΕΩΡΓΙΟΣ

# Ο ΕΞ ΙΩΑΝΝΙΝΩΝ

Εὐάγγελος Α. Μπενᾶς
Ἁγ. Τρύφωνος 13
Κηφισιά

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΙΩΑΝΝΙΝΩΝ

*'Αριθ. Πρωτ. 1138* *'Εν 'Ιωαννίνοις τῇ 4ῃ Σεπτεμβρίου 1961*

*Πρὸς*
*Τὴν 'Αγίαν καὶ 'Ιερὰν Σύνοδον*
*τῆς 'Εκκλησίας τῆς 'Ελλάδος*

*'Αθήνας*

*'Υποβάλλομεν εὐλαβῶς τῇ 'Αγίᾳ καὶ 'Ιερᾷ Συνόδῳ πρὸς ἔγκρισιν, 'Ακολουθίαν τοῦ ἐν ἔτει 1838 ἀθλήσαντος 'Αγίου ἐνδόξου Νεομάρτυρος Γεωργίου τοῦ ἐν 'Ιωαννίνοις, συνταχθεῖσαν ὑπὸ τοῦ ὑμνογράφου Μοναχοῦ, Γερασίμου Μικραγιαννανίτου.*

*Προβαίνομεν εἰς τὴν ἔκδοσιν τῆς παρούσης, καθόσον ἡ μέχρι σήμερον ἐν χρήσει 'Ιερὰ 'Ακολουθία τυγχάνει ἀτελὴς καὶ ἐλλειπεστάτη.*

*Παρακαλοῦντες, ὅθεν, ὅπως τύχῃ αὕτη τῆς 'Υμετέρας ἐγκρίσεως διατελοῦμεν.*

*'Ελάχιστος ἐν Χριστῷ ἀδελφὸς*
*† 'Ο 'Ιωαννίνων* **Σεραφεὶμ**

www.tezaurliturgic.ro

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

## ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

'Αριθ. Πρωτ. 2208/64 / Διεκ. 97 — 'Αθήνησι τῇ 28ῃ 'Ιανουαρίου 1965

**Πρὸς**

**τὸν Σεβασμιώτατον Μητροπολίτην 'Ιωαννίνων**

**κ. Σεραφεὶμ**

*Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,*

*Εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. πρωτ. 1183/4-9-1964 ὑμετέρου ἐγγράφου, δι' οὗ ὑποβάλλετε πρὸς ἔγκρισιν 'Ι. 'Ακολουθίαν τοῦ ἐν ἔτει 1838 ἀθλήσαντος 'Αγίου ἐνδόξου Νεομάρτυρος Γεωργίου τοῦ ἐν 'Ιωαννίνοις, συνταχθεῖσαν ὑπὸ τοῦ ὑμνογράφου Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, καθόσον ἡ μέχρι σήμερον ἐν χρήσει τοιαύτη τυγχάνει ἀτελὴς καὶ ἐλλειπεστάτη, Συνοδικῇ ἀποφάσει, γνωρίζομεν ὑμῖν, ὅτι ἐγκρίνεται ἡ ὡς ἄνω 'Ακολουθία καὶ ἡ τύποις ἔκδοσις αὐτῆς, ὡς μηδὲν περιέχουσα τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὴν 'Ιερὰν Παράδοσιν τῆς 'Αγιωτάτης ἡμῶν 'Εκκλησίας.*

*'Επὶ τούτοις κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.*

† *'Ο 'Αθηνῶν* **Χρυσόστομος**, *Πρόεδρος.*

*'Ο 'Αρχιγραμματεύς*

*'Αρχιμ.* **Θεόκλητος Φιλιππαῖος**

www.tezaurliturgic.ro

# ΙΑΝΟΥΑΡΙΟΥ ΙΖ,
## Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος
## ΓΕΩΡΓΙΟΥ
## τοῦ ἐν Ἰωαννίνοις, τοῦ Θαυματουργοῦ

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε φιλεόρτων ἡ πληθύς, καὶ Ἠπειρωτῶν αἱ χορεῖαι, πανηγυρίσωμεν, μνήμην τὴν ἐτήσιον, τοῦ Ἀθλοφόρου Χριστοῦ, τοῦ ἐσχάτοις ἐν ἔτεσι, στερρῶς ἠθληκότος, καὶ καταπαλαίσαντος, πλάνην τὴν βέβηλον, χαίροις πρὸς αὐτὸν ἐκβοῶντες, τῶν Ἰωαννίνων ἡ δόξα, Νεομάρτυς ἔνδοξε Γεώργιε.

Ὅτε συνελήφθης ταῖς χερσί, Μάρτυς παρανόμων τυράννων, ὥσπερ ἀρνίον Χριστοῦ, τότε ἀνεκραύγαζες, γενναιοτάτῃ ψυχῇ· Τοῦ Χριστοῦ δοῦλος πέφυκα, ὑπὲρ οὗ προθύμως, τὴν ζωήν μου τίθημι, σύνετε ἄνομοι· ὅθεν δι' ἀγχόνης τελέσας, τὸν τῆς σῆς ἀθλήσεως δρόμον, θαυμαστῶς δεδόξασαι Γεώργιε.

Πρᾶος καὶ ἀκέραιος ὀφθείς, τὸν ὑπὲρ Χριστοῦ ἀνεδέξω, ἀγαλλομένῃ ψυχῇ, Ἅγιε Γεώργιε, ἀγῶνα κάλλιστον, καὶ σοφίᾳ τῇ ἄνωθεν, ἁπλότητι λόγων, καὶ στερρῷ φρονήματι, ἐχθροὺς κατῄσχυνας· ὅθεν ὡς ἀθλήσας νομίμως, χάριν ἰαμάτων πηγάζεις, τοῖς πιστῶς προστρέχουσι τῇ σκέπῃ σου.

Χαίρει καὶ σκιρτᾷ πνευματικῶς, τῶν Ἰωαννίνων ἡ πόλις, τῇ προστασίᾳ τῇ σῇ, Ἅγιε Γεώργιε, Ἠπειρωτῶν ἡ χαρά· ὥσπερ πλοῦτον γὰρ κέκτηται, δωρεῶν ἀΰλων, τῶν σεπτῶν λειψάνων σου, τὴν παναγίαν σορόν· ὅθεν καὶ πανδήμως γεραίρει, Μάρτυς τὴν ἁγίαν σου μνήμην, τὴν σὴν δεχομένη χάριν ἄνωθεν.

www.tezaurliturgic.ro



Δόξα... Ἦχος α'.

Τῷ θεμελίῳ τῆς πίστεως ἱδρυμένος, Γεώργιε τρισμάκαρ, ὤφθης ἀδιάσειστος, πρὸς τὰ φρυάγματα τῶν ὑπεναντίων· καὶ τὴν ἀγχόνην ἀσμένως αἱρετισάμενος, δι' ἀγάπην Κυρίου, ἐκομίσω παρ' αὐτοῦ, τὸν τῆς νίκης ἀμάραντον στέφανον, καὶ τὴν χάριν ἐπὶ γῆς, τῶν ἀπείρων ἰάσεων· δι' ὧν τοὺς σαλευομένους ὑπεστήριξας, καὶ τοὺς ψυγέντας τὴν πίστιν διεθέρμανας, δόξαν ἀναπέμποντας Χριστῷ, τῷ παρέχοντι ἀεί, τῆς ἀνθρωπίνου σωτηρίας τὴν ἔλλαμψιν.

Καὶ νῦν... Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Ἀπόστιχα.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὤφθης τῶν Ἀθλητῶν, ὁμόζηλος τῶν πάλαι, Γεώργιε τρισμάκαρ, περιφανῶς ἀθλήσας, ἐν τοῖς ἐσχάτοις ἔτεσι.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος...

Θαύμασι δοξασθείς, παρὰ Χριστοῦ πλουσίως, παρέχεις τὰς ἰάσεις, τοῖς πίστει προσιοῦσι, τῷ τάφῳ σου Γεώργιε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Κρήνη ἀνελλιπής, χαρίτων οὐρανίων, τῶν σῶν σεπτῶν λειψάνων, σορὸς ἡ θεία πέλει, τῇ πόλει σου Γεώργιε.

Δόξα... Τριαδικόν.

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι Ἁγίῳ, ἡ μία βασιλεία, ἐλέησον τὸν κόσμον, πρεσβείαις τοῦ σοῦ Μάρτυρος.

Καὶ νῦν... Θεοτοκίον.

Λόγον σε ἐν σαρκί, τὸν Ὕψιστον τεκοῦσαν, καὶ μείνασαν Παρθένον, Γεώργιος ὁ νέος, ἐκήρυξε Πανάμωμε.

Νῦν ἀπολύεις..., τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

www.tezaurliturgic.ro



## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η', καὶ ψάλλομεν Προσόμοια τοῦ Μάρτυρος δ', καὶ τοῦ Ὁσίου δ'. Προσόμοια τοῦ Μάρτυρος.

Ἦχος α'. Ὢ τοῦ παραδόξου θαύματος!

Ὢ τοῦ παραδόξου θαύματος! ἐν ἐσχάτοις καιροῖς, στρατιώτης ἄριστος, καὶ Μάρτυς περιφανής, τοῦ πάντων ἄνακτος, ἐδείχθη ὡς ἀληθῶς, ἀνδραγαθήσας ἀγῶσιν ἀθλήσεως, Γεώργιος ὁ κλεινός, Ἰωαννίνων τὸ θεῖον ἀγλάϊσμα. Ὅθεν τὴν ἁγίαν τούτου, μνήμην ἑορτάσωμεν, τὸν Χριστὸν ἀνυμνοῦντες, τὸν λαμπρῶς αὐτὸν δοξάσαντα.

Ὢ τοῦ παραδόξου θαύματος! ὁ τῷ τρόπῳ ἁπλοῦς, καὶ τὸν νοῦν ἀκέραιος, τὸν ὄφιν τὸν πονηρόν, φρονίμως ᾔσχυνε, καὶ ἤνυσε νουνεχῶς, τοῦ μαρτυρίου τὸν δρόμον τὸν κάλλιστον, καὶ δόξης τε καὶ τιμῆς, τῆς τῶν Μαρτύρων τῶν πάλαι ἠξίωται. Ὄντως ἐν σοὶ Νεομάρτυς, τοῦ Χριστοῦ ἡ ἔνθεος, τεθαυμάστωται πίστις, εὐσεβῶν εἰς περιποίησιν.

Βαβαὶ τῆς σῆς εὐδοκίας Χριστέ! σὺ γὰρ τὰ τοῦ κόσμου, ἀσθενῆ ἐξέλεξας, καὶ ᾔσχυνας δι' αὐτῶν, νοῦν τὸν μετέωρον· ἰδοὺ γὰρ ὡς ἀληθῶς, ὁ ἰδιώτης τῷ λόγῳ καὶ ἄπλαστος, Γεώργιος ὁ κλεινός, περιεγένετο γνώμης στερρότητι, τῆς δεινῶς φρυαττομένης, τῶν ἐχθρῶν δυνάμεως, καὶ τῶν πάλαι Μαρτύρων, ἠκολούθησε τοῖς ἴχνεσι.

Τῆς σῆς ἐνδόξου ἀθλήσεως, τοὺς λαμπροὺς ἀγῶνας, δι' ὧν ἰσοστάσιος, ἐδείχθης τῶν εὐκλεῶν, Μαρτύρων Ἅγιε, γεραίρει ᾀσματικῶς, ἀγαλλομένη ἡ Ἤπειρος σύμπασα, ἐξόχως δὲ εὐφημεῖ, Ἰωαννίνων ἡ πόλις χορεύουσα· ἐν αὐτῇ γὰρ ἐναθλήσας, μακαρίαν ἔδειξας, ἐν ταῖς πόλεσι ταύτην, τῇ σῇ χάριτι Γεώργιε.

Καὶ τοῦ Ὁσίου δ'.

Δόξα... Ἦχος πλ. β'.

Τῶν Ἀθλητῶν τὸν κοινωνόν, καὶ φωταυγῆ ἀστέρα, τὴν κρήνην τῶν θαυμάτων, καὶ τοῦ Χριστοῦ Ἀθλοφόρον ἔνθεον, συνδραμόντες φιλομάρτυρες, μαρτυρικοῖς ἐγκωμίοις, ὑμνήσωμεν λέγοντες· χαίροις ὁ τῆς Ἠπείρου πυρσός, καὶ τῶν Ἰωαννίνων, ἀρωγὸς θερμότατος· χαίροις Μαρτύρων ὁμότροπε, ὁ τοῦ Σωτῆρος τὰ στίγματα, βαστάζων τῷ σώματι· χαίροις τῶν ἀσθενούντων ταχεῖα θεραπεία, καὶ τῶν θλιβομένων ἀναψυχὴ βεβαία. Καὶ νῦν παμμάκαρ Γεώργιε, ἀπαύστως δυσώπει Χριστὸν τὸν Θεόν, ὑπὲρ ἡμῶν τῶν ἐπινικίως κροτούντων, τὴν ἱερὰν καὶ χαρμόσυνον μνήμην σου.

www.tezaurliturgic.ro



Καὶ νῦν... Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν..., τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ' 9)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ' 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro



## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε' 15)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Εἰς τὴν Λιτήν.

Ἰδιόμελα. Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ, Ἰωαννίνων ἡ πόλις, ὡς θησαυρὸν κατέχουσα, Γεώργιον τὸν Νεομάρτυρα· γεωργηθεὶς γὰρ φερωνύμως, δι' ἀθλήσεως Χριστῷ, τῆς εὐσεβείας τὰς χάριτας, τῇ Ἐκκλησίᾳ ἐξήνεγκε· καὶ τὸν εὐαγῆ αὐτοῦ τάφον, ὡς κιβωτὸν κυκλοῦσα ἁγιάσματος, τῶν ἐξ αὐτοῦ ἰάσεων, τὰς δυνάμεις ἀπόλαυε, ἐν εὐφροσύνῃ βοῶσα· Ἀθλοφόρε Γεώργιε, μὴ παύσῃ ἐφορῶν καὶ σκέπων, τὴν σὲ λαμπρῶς τιμῶσαν πόλιν, καὶ πάντας τοὺς γεραίροντας, τὴν ἁγίαν μνήμην σου.

Ἦχος β'.

Μαρτυρικὴν ἐπιδειξάμενος ἀνδρείαν, τυραννικὴν ἐξεφαύλισας μανίαν, τῇ ἀτρέπτῳ στάσει σου, Ἀθλητὰ Γεώργιε· στοιχειωθεὶς γὰρ θείᾳ ἀγάπῃ, τὸν θησαυρὸν τῆς πίστεως, ἄσυλον διέσωσας· καὶ προσηκόντων ὑπεριδὼν τὸν πόθον, ὑπὲρ Χριστοῦ θανεῖν προέκρινας, οὐρανόφρονι γνώμῃ· καὶ καλῶς ἀγωνισάμενος, τὴν Ἐκκλησίαν εὔφρανας, τῇ στερρᾷ ἀθλήσει σου· ὡς γὰρ ἄσαρκος ὑπήνεγκας, τὰς τῶν δεινῶν ἐπιφοράς, καὶ ὡς ζωὴν γλυκεῖαν, τὸν δι' ἀγχόνης θάνατον· διὸ δόξης ἀθανάτου, καὶ ἐπάθλων θαυμαστῶν, παρὰ Χριστοῦ ἠξίωσαι, τοῦ πλουσίως σε δοξάσαντος.

www.tezaurliturgic.ro



Ἦχος γ'.

Ὡς Χριστοῦ στρατιώτης, τὸν πολυμήχανον κατηγωνίσω ἐχθρόν, ἐν ἁπλότητι λόγων, καὶ σοφίᾳ τῇ ἄνωθεν, καὶ στερρότητι ψυχῆς, Νεομάρτυς Γεώργιε· πάντες γὰρ ἠργάσθησαν, τὴν σὴν ἀνένδοτον ἄθλησιν, καὶ τὴν δοθεῖσάν σοι χάριν, περιουσίᾳ πίστεως· καὶ φωτὶ οὐρανίῳ, καὶ ἰαμάτων χορηγίαις, καὶ θαυμάτων δυνάμεσι, τὸ σὸν ἀθλητικώτατον σῶμα, ὁ ἀθλοθέτης Χριστὸς ἐδόξασε· διὸ Ἰωαννίνων ἡ πόλις, ἀγαλλιᾶται τῇ δόξῃ σου, καὶ πολιοῦχον καὶ ἔφορον σχοῦσά σε, πάσης ἀνάγκης ῥύεται, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.

Ἦχος δ'.

Τὸν ὑπούλως ἐπελθόντα σοι ὄφιν, ἐμφρόνως ἀπεκρούσω, τετειχεισμένος θείᾳ φρονήσει, καὶ εἰς γῆν αὐτὸν καταβέβληκας, ἀθλητικῷ παραστήματι, καὶ πεπαρρησιασμένῃ ὁμολογίᾳ, Θεόφρον Γεώργιε· ὅθεν ὁ τῆς δόξης Κύριος, ὡς δοξασθεὶς τῇ ἀθλήσει σου, περιφανῶς σε δοξάζει, καὶ ἰαμάτων κρήνην ἀνέδειξε, τὴν σορὸν τῶν λειψάνων σου· ποικίλας γὰρ ἰᾶται ἀσθενείας, καὶ ῥῶσιν καὶ ὑγείαν βραβεύει, τοῖς σπεύδουσιν ἑκάστοτε, τῇ θερμῇ ἀντιλήψει σου, Νεομαρτύρων ἀγλάϊσμα.

Δόξα... Ὁ αὐτός.

Τὸν Ἀθλοφόρον τοῦ Χριστοῦ, Γεώργιον τὸν ἔνδοξον, τὸν ἐν Ἰωαννίνοις ἀθλήσαντα, μαρτυρικοῖς ἐπαίνοις καταστέψωμεν· εὐσεβείας γὰρ ἀρότρῳ, μαρτυρίου στάχυν ἐγεώργησεν, ὡς καλὸς γεωργός, τοῦ καταβληθέντος λόγου· Χριστὸν γὰρ ὡμολόγησεν, ἐπὶ ἀπίστων ἀπτοήτως, καὶ νομίμως ἠνδρίσατο, κατὰ τῆς ἀσεβείας, θριαμβεύσας ταύτης τὸ φρύαγμα. Καὶ νῦν τῆς νίκης τὸ διάδημα, παρὰ Χριστοῦ κομισάμενος, ἀπαύστως πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ ἐν ἐσχάτοις καιροῖς, τῆς τῶν Μαρτύρων κοινωνήσας λαμπρότητος, ἀθλήσεως τοῖς ἀγῶσι, δι' ὧν ἐκφαίνεις σαφῶς, τὴν τῆς εὐσεβείας δόξαν ἄρρητον· ὁ λόγων ἁπλότητι, καὶ ψυχῆς ἀνδρειότητι, καταπαλαίσας, τὸν μεγάλαυχον δράκοντα, καὶ τῆς πίστεως, τὴν ἰσχὺν πιστωσάμενος· Μάρτυς ἀκαταγώνιστε, Χριστοῦ τοῦ Παντάνακτος, ὁ τῇ ἀθλήσει δοξάσας, αὐτοῦ τὸ ἅγιον ὄνομα, Γεώργιε μάκαρ, ὃν δυσώπει ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

www.tezaurliturgic.ro



Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος...

Χαίροις τῶν Ἀθλοφόρων Χριστοῦ, λαμπρὰ προσθήκη ὡς ἐν πᾶσιν ὁμότροπος· ἡ δόξα τῶν Ὀρθοδόξων, καὶ θυμηδία καινή· τῶν Νεομαρτύρων ἀκροθίνιον· ἀγάπῃ τῇ θείᾳ γάρ, εὐσεβῶς στοιχειούμενος, πρὸς μαρτυρίου, τὸ περίβλεπτον ὕψωμα, ἤρθης Ἅγιε, ἀφειδήσας τοῦ σώματος. Ὅθεν σε μακαρίζομεν, παμμάκαρ Γεώργιε, καὶ τὴν ἁγίαν σου μνήμην, ὡς εὐφροσύνης ὑπόθεσιν, φαιδρῶς ἐκτελοῦμεν, μεγαλύνοντες ἀπαύστως, τὸν σὲ δοξάσαντα.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις ὁ Νεομάρτυς Χριστοῦ, Ἰωαννίνων πολιοῦχος καὶ ἔφορος, καὶ λύχνος ὁ φωτοφόρος, ὁ καταυγάζων ἀεί, τὴν Ἤπειρον πᾶσαν ἐν τοῖς θαύμασι· τυφλῶν ἡ ἀνάβλεψις, παρειμένων ἀνόρθωσις· ὁ τοῖς ποικίλως, ἀσθενοῦσι τὴν ἴασιν, χαριζόμενος, συμπαθεῖ ἐπισκέψει σου· ῥύστης ὁ ἑτοιμότατος, καὶ φύλαξ σωτήριος, τῶν ἐτησίως τελούντων, τὴν πανᾳοίδιμον μνήμην σου, Γεώργιε μάκαρ, Ἐκκλησίας νέας βάσις, καὶ ἀγαλλίαμα.

Δόξα... Ἦχος πλ. δ'.

Δεῦτε ἅπαντες πιστοί, ᾄσωμεν ᾆσμα καινόν, τῷ νέῳ τοῦ Χριστοῦ Ἀθλοφόρῳ, Γεωργίῳ τῷ θεόφρονι· μαρτυρικῶς γὰρ ἠγωνίσατο, ἐν τοῖς ἐσχάτοις χρόνοις, τῶν πάλαι Μαρτύρων, μιμητὴς γενόμενος· τὸ γὰρ σωτήριον ὄνομα, εὐθαρσῶς ὡμολόγησε, καὶ τῷ τῆς ἀγχόνης θανάτῳ, τὸν ἀρχέκακον ἐχθρὸν ἀπηγχόνισε. Καὶ νῦν τοῦ ξύλου τῆς ζωῆς, ἀμέσως ἀπολαύων, ἰαμάτων παρέχει δωρεάς, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων· νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τὸν πανεύφημον Μάρτυν Χριστοῦ Γεώργιον, Ἰωαννίνων τὸ κλέος καὶ πολιοῦχον λαμπρόν, ἐν ᾠδαῖς πνευματικαῖς ἀνευφημήσωμεν· ὅτι ἐνήθλησε στερρῶς, καὶ κατήνεγκεν ἐχθρόν, τοῦ Πνεύματος τῇ δυνάμει· καὶ νῦν ἀπαύστως πρεσβεύει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Ἠπείρου τὸ κλέος καὶ Μαρτύρων τὴν σύναθλον, τῶν Ἰωαννίνων τὴν δόξαν, καὶ θερμὸν ἀντιλήπτορα, τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί, Γεώργιον τὸν νέον Ἀθλητήν· ἰαμάτων γὰρ πηγάζει τὰς δωρεάς, τοῖς πόθῳ ἀνακράζουσι. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ Δίκαιος Δαβίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

### Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.

### Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς νέος ἀριστεύς, καὶ γενναῖος ὁπλίτης, καὶ Μάρτυς ἀληθής, τοῦ Σωτῆρος τῶν ὅλων, τῆς πλάνης καταβέβληκας, τὸ μαινόμενον φρύαγμα· ὅθεν χαίροντες, τὴν σὴν γεραίρομεν μνήμην, ἀνυμνοῦντές σου, τοὺς τῆς ἀθλήσεως πόνους, παμμάκαρ Γεώργιε.

### Θεοτοκίον.

Ὁ Λόγος τοῦ Θεοῦ, ὁ τὸ πᾶν οὐσιώσας, ἐκ σοῦ ὑπερφυῶς, οὐσιώθη ὡς οἶδε, καὶ κόσμῳ πεφανέρωται, καὶ ζωῆς τρίβον ἔδειξε, τοῖς ποθήσασιν, αὐτοῦ τὴν ἄρρητον δόξαν, ἐν οἷς ἔλαμψε, καὶ ὁ Γεώργιος ἤδη, Παρθένε Πανάμωμε.

### Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

### Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς ἰαμάτων πολυχεύμονα κρήνην, τὴν τῶν λειψάνων σου πανέντιμον θήκην, Ἰωαννίνων πόλις θησαυρίζουσα, συγκαλεῖται ἅπασαν, κύκλῳ πόλιν καὶ χώραν, τὴν ἁγίαν μνήμην σου, χαρμοσύνως τελέσαι, καὶ μετασχεῖν Γεώργιε τῆς σῆς, παρὰ Κυρίου, ἧς ἔτυχες χάριτος.

### Θεοτοκίον.

Τὸν προαιώνιον καὶ ἄναρχον Λόγον, σωματωθέντα ἐξ ἁγνῶν σου αἱμάτων, ὑπερφυῶς ἐκύησας Πανάχραντε, κόσμον ἐκλυτρούμενον, τῆς ἀρχαίας ἀπάτης· ὅθεν τὸ σωτήριον, τούτου ὄνομα Κόρη, περιφανῶς ἐκήρυξε τανῦν, ὁ Νεομάρτυς, ἀθλήσας Γεώργιος.

### Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

### Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Εὐσεβείας τὴν ἄρουραν γεωργῶν, μαρτυρίου τὸν στάχυν καρποφορεῖς, χρηστότητι βίου σου, καὶ ἀπλάστοις ἐν ἤθεσι, λαμπρῶς κεκοσμημένος, καὶ ζήλῳ τῆς πίστεως, τὴν καθαρὰν ζωήν σου, ἰθύνων

www.tezaurliturgic.ro



πρὸς Κύριον. Ὅθεν ἀφθαρσίας δεδεγμένος τὸ γέρας, πηγάζεις ἰάματα, τοῖς πιστῶς προσιοῦσί σοι, Νεομάρτυς Γεώργιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Οὐρανῶν πλατυτέρα ὡς ἀληθῶς, ἀνεδείχθη Παρθένε ἡ σὴ γαστήρ· Θεὸν γὰρ ἐχώρησε, τὸν τῇ κτίσει ἀχώρητον, δι' ἄκραν εὐσπλαγχνίαν, γενόμενον ἄνθρωπον, καὶ οὐρανῶν πρὸς πλάτος, ἡμᾶς ἐπανάγοντα, τοὺς καταχθέντας πάλαι, βυθῷ ματαιότητος· ὅθεν ἀπαρχήν σε, σωτηρίας εἰδότες, θερμῶς καταφεύγομεν, τῇ πολλῇ σου χρηστότητι, καὶ βοῶμέν σοι Ἄχραντε: Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἱλασμὸν δωρήσασθαι, τοῖς τὰ σὰ μεγαλεῖα, ἐν πίστει δοξάζουσι.

Τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου καὶ τὸ Προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέρδος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...

(Ζήτει αὐτὸ ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγ. Γεωργίου τοῦ Τροπαιοφόρου, 23η Ἀπριλίου).

Ὁ Ν'. Δόξα... Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Σήμερον ὁ Νεομάρτυς Γεώργιος, τῶν Ἰωαννίνων τὸ ἔξοχον καύχημα, ἀθλητικῶς τὸν ἐχθρὸν θριαμβεύσας, τὸν ὑπὲρ Χριστοῦ, δι' ἀγχόνης δέχεται θάνατον. Ἄγγελοι τοὺς ἄθλους αὐτοῦ, ἄνωθεν κροτοῦσι, κάτω δὲ ἡμεῖς οἱ χοϊκοί, τὴν ἁγίαν αὐτοῦ μνήμην ἑορτάζομεν, ἐν εὐφροσύνῃ βοῶντες· Ἀθλητὰ τοῦ Χριστοῦ, πρέσβευε δεόμεθα, σώζεσθαι ἡμᾶς πάσης θλίψεως.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

www.tezaurliturgic.ro



Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου. Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·

Αἶνον προσᾴδω τῇ Ἁγνῇ Θεοτόκῳ. Γερασίμου.

Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.

» Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον » ἐρεύξομαι, τῇ βασιλίδι μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανη» γυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα. (Δίς).

Ἁγίασμα ἔνθεον, τοῦ ἀναβλύζοντος Ἄχραντε, ἀφάτῳ χρηστότητι, ἁγιασμοῦ δωρεάς, ὡς ὑπάρχουσα, ἁγίασον τὸν νοῦν μου, ὡς ἄν σοι ἁρμόνιον, πλέξω μελῴδημα.

Ἰσχὺν καὶ ἀνάπλασιν τοῖς ἀσθενέσιν ἐπήγασας, Χριστὸν τὸν Θεὸν ἡμῶν, κυοφορήσασα, τὸν συντρίψαντα, δυνάστην ἐν ἰσχύϊ, καὶ πᾶσι βραβεύσαντα, τὴν ἀπολύτρωσιν.

Ναὸς θεοκόσμητος, καὶ φωτοφόρον παλάτιον, ἐδείχθης Πανάμωμε, τοῦ ἐξ ἀνάρχου Πατρός, ἀνατείλαντος, καὶ σοῦ τὴν θείαν μήτραν, οἰκῆσαι θελήσαντος, δι' ἀγαθότητα.

Ὁ ἔμψυχος θάλαμος, ἡ κιβωτὸς ἡ πολύτιμος, ἐν ᾗ τὰ ἀπόρρητα, Θεοῦ μυστήρια, ἐκτετέλεσται, ἀκαταλήπτῳ τρόπῳ, ὑμνείσθω λαμπρότατα, ἡ Ἀειπάρθενος.

Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·

Γεώργιον μέλπω Ἠπείρου τὸ κλέος. Γερασίμου.

Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Γεώργιον Δέσποτα, τὸν σὸν λαμπρὸν Νεομάρτυρα, ὑμνῆσαι προθέμενος, τὴν σὴν ἀντίληψιν, συνεργῆσαί μοι, τῷ λόγῳ ἐξαιτοῦμαι, καὶ μέλψω γηθόμενος, τούτου τὴν ἄθλησιν.

Ἐκλάμψας ὡς ἥλιος, τῇ Ἐκκλησίᾳ Γεώργιε, ἐσχάτοις ἐν ἔτεσιν, ὡς ἐναθλήσας καλῶς, τὴν εὐπρέπειαν, αὐτῆς καταπυρσεύεις, ἀκτῖσι τῶν πόνων σου, καὶ τῶν θαυμάτων σου.

Ὡράθης κοσμούμενος, ἀνεπιλήπτοις σου πράξεσι, καὶ βίου σεμνότητι, μάκαρ Γεώργιε, καὶ ἠγώνισαι, Μαρτύρων τοὺς ἀγῶνας· διό σου τὴν ἄθλησιν, Χριστὸς ἐδόξασε.

Θεοτοκίον.

Ῥημάτων μὲν ἄγευστος, πέλων παιδείας τῆς ἔξωθεν, ὁ Μάρτυς Γεώργιος, ἀλλὰ τῇ χάριτι, δυναμούμενος, Παρθένε τοῦ Υἱοῦ σου, καλῶς ὡμολόγησε, πίστιν τὴν ἔνθεον.

www.tezaurliturgic.ro



## Καταβασία.

» Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσε ποτέ· ὡσεὶ τεῖχος γὰρ
» ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεα-
» ρέστως μέλποντι· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

## Ὠδὴ γ'. Ὁ Εἱρμός.

» Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή,
» θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ
» θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον. (Δίς).

Ναμάτων ἀΰλων σε χειμάρρουν, καὶ κρήνην ἐνθέων δωρεῶν, καὶ εὐσπλαγχνίας πέλαγος, γινώσκων σε Πανάμωμε, ἐκλιπαρῶ ρυσθῆναί με, τῆς τῶν παθῶν μου φλογώσεως.

Παράδεισος εὔοσμος ὠράθης, ὡς ξύλον βλαστήσασα ζωῆς, τὸν φυτουργὸν τῆς κτίσεως, ἀνάστασιν καὶ λύτρωσιν, τοῖς νεκρωθεῖσιν Ἄχραντε, θεουργικῶς παρεχόμενον.

Ῥάβδος ἡ ἀπότιστος καὶ θεία, ἡ ἄνθος ἀνθήσασα τερπνόν, ῥάβδῳ τῆς προμηθείας σου, ἀνόρθωσον καὶ στήριξον, τὴν παρειμένην Ἄχραντε, καὶ σαθρωθεῖσαν καρδίαν μου.

Ὅλος ἀσυγχύτως καὶ ἀτρέπτως, ὁ Λόγος σκηνώσας τοῦ Θεοῦ, ἐν μήτρᾳ σου Πανάμωμε, σὲ οὐρανὸν πολύφωτον, ἀνέδειξεν ἀστράπτοντα, ἀστροφανέσι χαρίσμασι.

## Τοῦ Ἁγίου. Ὁ αὐτός.

Γεώργιον νέον φερωνύμως, Γεώργιε νέε Ἀθλητά, τῷ ἀθλοθέτῃ πέφηνας, ἀρότρῳ τῆς ἀθλήσεως, γεωργηθεὶς καὶ ἤνεγκας, καρποφορίαν τὴν κρείττονα.

Ἰσχύϊ νευρούμενος τῇ θείᾳ, τυράννων ἐφαύλισας ὁρμάς, καὶ τοῦ Χριστοῦ τὸ ὄνομα, τὸ ὑπὲρ ἅπαν ὄνομα, ἐδόξασας Γεώργιε, ἀθλητικῷ παραστήματι.

Ὁμότροπος ὤφθης ἐν ἀγῶσι, τῶν πάλαι ἐνδόξων Ἀθλητῶν, τῇ σταθηρᾷ ἐνστάσει σου, αἰσχύνας τὸν ἀντίπαλον· ἐντεῦθεν καὶ τῆς χάριτος, ἰσοκλεὴς αὐτῶν γέγονας.

Νοήσας τοῦ ὄφεως τὸν δόλον, ἠκύρωσας τούτου τὴν βουλήν, τῷ θείῳ σου φρονήματι, καὶ χαίρων ὑπεισέδραμες, τὸ στάδιον Γεώργιε, θεοπρεπῶς τῆς ἀθλήσεως.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Μαρίαν τὴν μόνην Θεοτόκον, τιμήσωμεν δεῦτε ἱερῶς· αὕτη γὰρ σωματώσασα, Θεὸν τὸν Ὑπερούσιον, τῆς καταδίκης ἅπαντας, τῆς ἀρχεγόνου ἐρρύσατο.

Καταβασία.

»Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν
» Ἐκκλησίαν, ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀνδρείως κατέβαλες, τὸν παλαιὸν πτερνιστήν, ἀθλήσεως σκάμμασιν, ἐν τοῖς ἐσχάτοις καιροῖς, Γεώργιε ἔνδοξε· ὅθεν σου τὴν ἁγίαν, ἑορτάζομεν μνήμην, πίστει σου προσκυνοῦντες, τῶν λειψάνων τὴν θήκην, ἐξ ἧς ἡμῖν πηγάζει, ρεῖθρα ἰάσεων.

Θεοτοκίον.

Θεὸν τὸν ἀσώματον, σωματωθέντα ἐκ σοῦ, ἀφράστως ἐκύησας, δίχα τροπῆς καὶ φυρμοῦ, Παρθένε Πανάμωμε· ὅθεν τῇ σῇ κυήσει, λυτρωθέντες τοῦ Ἅδου, αἶνον εὐχαριστίας, σοὶ προσάγομεν Κόρη· ὅτι ἡμᾶς διασώζεις, πάσης περιστάσεως.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

»Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώ-
» σεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν
» ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε. (Δίς).

Σκήνωμα γεγένησαι φωτοειδές, τοῦ τὰ πάντα στήσαντος ρήματι· ἐκ σοῦ γὰρ ὤφθη, ὁ τῶν ὅλων Ποιητής, καὶ τοὺς βροτοὺς ἐρρύσατο, τῆς προγονικῆς ἀποφάσεως.

Ἄφλεκτός σε βάτος ἐν τῷ Σινᾷ, Πνεύματι Ἁγίῳ προέγραψε, τῷ νομοθέτῃ· σὺ γὰρ ἔφερες Ἁγνή, τὴν φλόγα τῆς Θεότητος, πλάνης ἐμπιπρῶσαν τὴν ἄκανθαν.

Δόξης τὸ ἀπαύγασμα τῆς Πατρικῆς, ἐν τῇ σῇ σκηνῶσαν Πανάμωμε, γαστρὶ ἀχράντῳ, οὐρανίων δωρεῶν, ἑστίαν σε εἰργάσατο, καὶ Τριαδικοῦ φωτὸς πρύτανιν.

Ὢ μεγαλωσύνης σου τῆς ὑπὲρ νοῦν! ὢ ξενοπρεποῦς θεωρήματος! Θεογεννῆτορ· σὺ γὰρ οἷά περ βροτόν, ἀγκάλαις σου ἐβάστασας, τὸν δρακὶ τὰ πάντα κατέχοντα.

Τόμον θεωρήσας σε Κόρη καινόν, πάλαι Ἡσαΐας προέγραφε, τῆς σῆς λοχείας, τὸ ἀπόρρητον Ἁγνή· ὅτι Παρθένος ἔτεκες, καὶ τὴν παρθενίαν ἐφύλαξας.

www.tezaurliturgic.ro



Τοῦ Ἁγίου. Ὁ καθήμενος ἐν δόξῃ.

Εὐσεβείᾳ διαπρέπων, καὶ ἀπλάστοις σου ἤθεσι, ἔστης πρὸ βημάτων, Μάρτυς παρανόμου δικάζοντος, καὶ σταθερῶς ἀνεβόας ὦ Γεώργιε· οὐκ ἀρνήσομαι, Χριστοῦ τὸ ἅγιον ὄνομα.

Λυμεὼν ὁ παλαμναῖος, ἐνεὸς καὶ ἐμβρόντητος, ἀληθῶς ἐδείχθη, σοῦ ἀναφωνοῦντος Γεώργιε· Χριστιανός εἰμι σύνετε ὦ ἄνομοι, τοῦ Σωτῆρός μου, χάριν θανοῦμαι γηθόμενος.

Πλήρης πίστεως ὑπάρχων, καὶ γενναίου φρονήματος, ἀπειλὰς τυράννων, οὐδαμῶς κατέπτηξας ἔνδοξε, οὐ τῶν βασάνων τὰ εἴδη ἐδειλίασας, οὐ τὸν θάνατον, τὸν δι' ἀγχόνης Γεώργιε.

Ὥσπερ ἄκακον ἀμνόν σε, τοῦ καλοῦ ἀρχιποίμενος, δίκην λύκων Μάρτυς, οἱ τῆς ἀσεβείας συνήγοροι, περιτυχόντες ᾐκίζοντο σφοδρότατα, ἀλλ' ἀνώτερος, τῆς τούτων βλάβης διέμεινας.

Θεοτοκίον.

Ἡ ἁγία Θεοτόκος, ἡ ἀμνὰς ἡ ἀμίαντος, ἡ τὸν Θεὸν Λόγον, οἷάπερ ποιμένα κυήσασα, τοῖς δεξιοῖς με προβάτοις συναρίθμησον, τὸν ἱκέτην σου, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καταβασία.

» Ἐκάλυψεν οὐρανούς, ἡ ἀρετή σου Χριστέ· τῆς κιβωτοῦ γὰρ προ-
» ελθών, τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρός, ἐν τῷ ναῷ
» τῆς δόξης σου, ὤφθης ὡς βρέφος ἀγκαλοφορούμενος· καὶ ἐπληρώθη
» τὰ πάντα τῆς σῆς αἰνέσεως.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

» Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ Ἀπειρό-
» γαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέ-
» τοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύου-
» σα. (Δίς).

Ὡραία ἐν κάλλεσιν, ὑπὲρ ἀκτῖνας ἔλαμψας, τὰς ἡλιακὰς Θεογεννῆτορ, ὡς ᾀσματίζων ὁ Σολομών σοι βοᾷ· τὸν γὰρ πάντας τοὺς βροτούς, ὡραῖον καὶ ἔκλαμπρον, ὑπὲρ φύσιν ἐκύησας.

Ἀσπόρως συνέλαβες, ἀφθόρως ἀπεκύησας, τὸν Δημιουργὸν καὶ βασιλέα· ὢ παραδόξων πραγμάτων Ἄχραντε! ὃν γὰρ οὐ χωρεῖ ὁ οὐρανός, ἡ νηδύς σου δέδεκται, ὡς χωρίον εὐρύχωρον.

Γαλήνης τὸν αἴτιον, προαγαγοῦσα Ἄχραντε, ἔσωσας ἐκ σάλου τῆς κακίας, πρὸς τὸν λιμένα τῆς θείας γνώσεως, τὴν χειμαζομένην χαλεπῶς, Κόρη ἀνθρωπότητα, εὐφημοῦσαν τὴν δόξαν σου.

www.tezaurliturgic.ro



Νεκροῖς τὴν ἀνάστασιν, νοσοῦσι τὴν ἀνάρρωσιν, ἄφεσιν δεσμώταις αἰωνίοις, καὶ οὐρανίου τρυφῆς ἀπόλαυσιν, ὤμβρησας γεννήσασα Ἁγνή, τὸν διὰ σταυρώσεως, τὴν εἰρήνην βραβεύσαντα.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Προθύμως εἰσέδραμες, τὸ στάδιον Γεώργιε, θείᾳ πτερωθεὶς στερρᾷ ἀγάπῃ, καὶ προσηκόντων ὑπεριδὼν τὴν στοργήν, καὶ τὰς τῶν τυράννων δωρεάς, πάσας ἀρνησάμενος, εὐσεβῶς ἠνδραγάθησας.

Εἱρκτῇ συγκλειόμενος, καὶ μάστιξι βαλλόμενος, καὶ τὰς ἐξ ἀκίδων φέρων τρώσεις, οὐ κατεκάμφθης τῇ τοῦ τυράννου ὁρμῇ, ἀλλ' ὤφθης ὡς κέδρος ἀρραγής, γεωργίᾳ πίστεως, εὐθηνοῦσα καὶ θάλλουσα.

Ἰάματα ἄφθονα, ἡ θήκη τῶν λειψάνων σου, βρύουσα ὡς κρήνη σωτηρίου, νόσων ποικίλων ξηραίνει βόρβορον, καὶ ἀποκαθαίρει ψυχικούς, μολυσμοὺς Γεώργιε, ἐνεργείᾳ τοῦ Πνεύματος.

Θεοτοκίον.

Ῥωννύμενος χάριτι, τοῦ σοῦ Υἱοῦ Πανάμωμε, ᾔσχυνε τὸ φρύαγμα τῆς πλάνης, ὁ Ἀθλοφόρος νέος Γεώργιος, καὶ ἐν ἀσθενείᾳ τῆς σαρκός, ἀνδρικῶς κατέβαλε, τὸν ἀρχέκακον δράκοντα.

Καταβασία.

» Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ Θεόν, ὑπ'
» Ἀγγέλων δόξης δορυφορούμενον, ὢ τάλας! ἐβόα ἐγώ πρὸ
» γὰρ εἶδον σωματούμενον Θεόν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσ-
» πόζοντα.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

» Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες,
» τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς
» τεχθέντα, Θεὸν δοξάζοντες. (Δίς).

Ἡλίου ὄχημα πάγχρυσον, τοῦ τῆς δικαιοσύνης γεγένησαι, Θεογεννήτρια, οὗ ταῖς ἀκτῖσι καταύγασον, τοὺς πίστει προσιόντας, τῇ φεραυγείᾳ σου.

Θαιμὰν καὶ ὄρος κατάσκιον, καλεῖ σε Ἀββακοὺμ προπιστούμενος, ἐν Θείῳ Πνεύματι, τῆς σῆς ἀρρήτου κυήσεως, τὸ ὑπὲρ λόγον θαῦμα, Παντοβασίλισσα.

Ἐκ τῶν ἀχράντων αἱμάτων σου, σαρκὸς τὴν πορφυρίδα ὁ ἄχρονος, ὑφάνας Δέσποινα, ὡς βασιλεὺς ἐπεδήμησε, καὶ τὴν ἐλευθερίαν, κόσμῳ δεδώρηται.

www.tezaurliturgic.ro



Οὐ διεφθάρης τὴν μήτραν σου, τεκοῦσα ὡς ἠθέλησεν Ἄχραντε, τὸν Ὑπερούσιον, καὶ τῆς φθορᾶς τὴν ἐπίχυσιν, διέλυσας τῷ κόσμῳ, ὡς ὄρθρος λάμψασα.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ὁ τῶν Μαρτύρων ἐφάμιλλος, καὶ δόξης τῆς αὐτῶν ἰσοστάσιος, ἀνευφημείσθω μοι, ὁ Νεομάρτυς Γεώργιος, τῶν εὐσεβῶν ἁπάντων, νέον ἐντρύφημα.

Ὑπὸ τῆς ἄνωθεν χάριτος, ρωννύμενος παμμάκαρ Γεώργιε, γενναίως ἔφερες, λίθων μεγίστων τὴν πίεσιν, ἐπιτεθέντων Μάρτυς, ἐπὶ τῶν στέρνων σου.

Τὸ τῆς Ἠπείρου ἀγλάϊσμα, καὶ τῶν Ἰωαννίνων τὸν ἔφορον, τὴν τῶν ἰάσεων, κρήνην τὴν ὄντως θεόβρυτον, Γεώργιον τὸν νέον, ὁπλίτην μέλψωμεν.

Θεοτοκίον.

Ὁ Λόγος σὰρξ ἐκ σοῦ γέγονεν, ὁ ἄκτιστος ἐκ σοῦ πεπλαστούργηται, ἡ δὲ ἁγνεία σου, ἀδιαλώβητος ἔμεινε, Παρθένε Θεοτόκε, Μαρτύρων στήριγμα.

Καταβασία.

» Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ
» λαοῖς ἐπέστη, ἐκ Θεοῦ Χριστὲ σὺ Θεός μου.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Εὐκλεῶς ἀγάλλεται μεγαλαυχοῦσα, τῇ σεπτῇ ἀθλήσει σου, δι' ἧς ἡ πόλις θησαυρόν, Ἰωαννίνων ἐκτήσατο, τῶν ἱερῶν σου λειψάνων Γεώργιε.

Ἕτερον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἑορτάζει σήμερον, Ἰωαννίνων ἡ πόλις, τὴν ἁγίαν μνήμην σου, εὐφραινομένη καρδίᾳ, μέγαν σε, πρὸς τὸν Σωτῆρα πλουτοῦσα πρέσβυν, χάριν δέ, καὶ θεῖον ἔλεος καρπουμένη, ἐκ τῶν θείων σου λειψάνων, ὦ Νεομάρτυς Χριστοῦ Γεώργιε.

Ὁ Οἶκος.

Τῆς εὐσεβείας γεωργῶν, τὴν γῆν τὴν ἀνθοτρόφον, τῇ καθαρᾷ σου βιοτῇ, τοῦ μαρτυρίου τοὺς καρπούς, καρποφορεῖς περιφανῶς, ἀθλήσας γενναιοτάτῃ καρδίᾳ, ὑπὲρ τῆς καλῆς ὁμολογίας μακάριε· σὺ γὰρ ὁρατοῖς καὶ ἀοράτοις ἐχθροῖς στερρῶς ἀντετάξω, τοῖς πειραθεῖσι συλῆσαι, τὸν τῆς ἀμώμου πίστεώς σου θησαυρόν· καὶ ἀθλητικῇ ἀνδρείᾳ, καὶ ἀληθεῖ φρονήσει, τῶν τυράννων ἀπεῖπας τὰς δωρεάς,

www.tezaurliturgic.ro



καὶ τῶν βασάνων οὐκ ἔπτηξας τὰς ἀπειλάς, ἀλλ' ἔστης ἐν πᾶσιν ἀκλινὴς καὶ ἀκατάσειστος, καὶ τὸν ὑπὲρ Χριστοῦ θάνατον δι' ἀγχόνης, ἐν πολλῇ χαρᾷ ἐδέξω, καταγωνισάμενος τὸν δράκοντα· ὅθεν θαυμάτων δυνάμεσιν ἐδοξάσθης, καὶ παρέχεις τῆς σῆς πρεσβείας, τὰς σωτηρίους χορηγίας, τοῖς πίστει σπεύδουσι τῇ σορῷ τῶν θείων σου λειψάνων, ὦ Νεομάρτυς Χριστοῦ Γεώργιε.

## Συναξάριον

Τῇ ιζ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Γεωργίου τοῦ θαυματουργοῦ, τοῦ ἐν Ἰωαννίνοις ἐν ἔτει ͵αωλη' (1838) ἀθλήσαντος.

### Στίχοι.

Γεώργιος γῆν τῆς ψυχῆς γεωργήσας
Ξένον στάχυν ἤμησεν ἄφθιτον κλέος.
Ἐν δεκάθ' ἑβδομάτῃ τε Γεώργιος τέτληκε βρόχον.

Οὗτος ὁ περιφανὴς νεομάρτυς τοῦ Χριστοῦ Γεώργιος, υἱὸς ὑπῆρξε γονέων εὐσεβῶν καὶ ἐναρέτων, Κωνσταντίνου καὶ Βασίλως, ἔκ τινος χωρίου τῆς ἐπαρχίας τῶν Γρεβενῶν ὁρμωμένων, ὀνομαζομένου κοινῶς Τσούρχλι, (νῦν δὲ καλεῖται Ἅγιος Γεώργιος), ἀνθρώπων ἐνδεῶν, καὶ ποριζομένων τὰ πρὸς τὸ ζῆν διὰ τῆς γεωργίας, οἵτινες γεννήσαντες τὸν Γεώργιον, καὶ ἐν εὐσεβείᾳ ἀναθρέψαντες, οὐκ ἠδυνήθησαν δι' ἀπορίαν ἐκπαιδεῦσαι αὐτόν· ἄπειρος δὲ γραμμάτων ὡς ἐκ τούτου διαμείνας, καὶ ἀπορφανισθεὶς τῶν γονέων αὐτοῦ ἐν νεαρᾷ ἡλικίᾳ, διέμεινε πρὸς καιρὸν ὑπὸ τοὺς ἑαυτοῦ ἀδελφούς· τηνικαῦτα μεταβὰς εἰς Ἰώαννινα, ἐπορίζετο τὰ πρὸς τὸ ζῆν ὑπομίσθιος, ἁπλοῦς ὑπάρχων τὸν τρόπον, καὶ σεμνὸς τοῖς ἤθεσι, καὶ πρᾷος, καὶ μὴ ἀπολειπόμενος τοῦ θαμίζειν εἰς τὸν οἶκον Κυρίου ἐν ταῖς εὐκαιρίαις αὐτοῦ. Κατὰ μῆνα Ὀκτώβριον τοῦ σωτηρίου ἔτους 1836 διετέλει ὡς ἱπποκόμος παρά τινι Ὀθωμανῷ, ἐν διαπρέποντι ἀξιώματι ὄντι, παρὰ τῷ τότε διοικητῇ τῶν Ἰωαννίνων· Ὀθωμανοὶ δὲ τινές, ἐκ τῆς εὐτελεστέρας μοίρας, φθόνῳ κινούμενοι καὶ ἐμπαθῶς αὐτῷ διακείμενοι, συκοφαντίαν προσῆψαν τῷ μακαρίῳ, ὡς δῆθεν ἐξομόσας πρό τινος καιροῦ, πάλιν ὡς Χριστιανὸς ἤδη διάγει, καὶ ἀπαχθεὶς ὑπ' αὐτῶν εἰς τὸν Μεχκεμὲν (οὕτως καλεῖται τῇ τῶν Ὀθωμανῶν διαλέκτῳ ὁ δικαστής), καὶ ἐρωτηθεὶς ὑπὸ τοῦ κριτοῦ ἂν οὕτως ἔχῃ τὰ κατ' αὐτόν, εὐθαρσῶς ὡμολόγησεν, ὅτι οὐδέποτε ἀρνησίχριστος ἐγένετο, καὶ ἀδίκως συκοφαντεῖται παρ' αὐτῶν· ὁ δὲ κριτής, συνέσει διαπρέπων, διέγνωσεν ὅτι ἐμπαθῶς κατηγορεῖται παρ' αὐτῶν· διὸ καὶ ἀνακρίνας αὐτόν, καὶ ἀπερίτμητον εὑρών, ἀπέλυσεν.

Παρὰ τῷ εἰρημένῳ αὐθέντι διατελῶν ἐν Ἰωαννίνοις, συνεζεύχθη νομίμῳ γυναικὶ Ἑλένη τοὔνομα, κατὰ Ἰανουάριον τοῦ ἔτους 1837. Ἐλθόντος δὲ εἰς Ἰώαννινα ἡγεμόνος τοῦ Μουσταφᾶ Πασᾶ, οὕτω καλουμένου, ἐμισθώθη παρὰ τῷ διορισθέντι νέῳ Μουσελίμῃ τῶν Φιλιατῶν, καὶ ἀπῆλθε μετ' αὐτοῦ ἐκεῖσε· καὶ μετ' οὐ πολὺ ἐπανακάμψαντος εἰς Ἰώαννινα τοῦ Μουσελίμη, ἕνεκεν ἰδίων ὑποθέσεων, ἦλθε μετ' αὐτοῦ καὶ ὁ Γεώργιος ὡς ἱπποκόμος. Τῇ 10ῃ Ἰανουαρίου 1838 ὁ Μουσελίμης, διαπεράνας τὰς ἑαυτοῦ ὑποθέσεις, ἐξεκίνησεν εἰς Φιλιάτας, ὁ δὲ Γεώργιος, ἐπεὶ ἡ σύνευνος ἔτεκεν αὐτῷ υἱόν, ἐξῃτήσατο παραμεῖναι ἐπί τινας ἡμέρας, σκοπὸν ἔχων ἵνα παρευρεθῇ εἰς τὸν βαπτισμὸν τοῦ νεοτεχθέντος υἱοῦ αὐτοῦ. Τῇ 12ῃ Ἰανουαρίου, ἡμέρᾳ Τετάρτῃ

www.tezaurliturgic.ro



τῆς ἑβδομάδος, περὶ ὥρας πρωϊνάς, Ὀθωμανός τις τῶν ἐκδεδιητημένων, ἀπαντήσας αὐτῷ εἴς τινα ὁδόν, ἐδράξατο αὐτοῦ λέγων· Σὺ Τοῦρκος γέγονας, καὶ πῶς ἤδη Χριστιανὸς διάγεις; ὁ δὲ ἀπεκρίνατο· Μήτε Τοῦρκος ἐγενόμην ποτέ, μήτε τὸν Χριστόν μου ποτὲ ἠρνήθην· Χριστιανός, καὶ ἤμην καὶ ἀεὶ εἰμί. Ἐν τῷ μεταξὺ ἀθροισθέντων καὶ ἄλλων Ὀθωμανῶν ἐκ τῶν παραπορευομένων, καὶ συμμαρτυρούντων τῷ ἀπ' ἀρχῆς δραξαμένῳ τοῦ Γεωργίου, θορύβου γενομένου ἐκ τῆς ἀθροίσεως συμμιγῶν ἀνθρώπων, ἐπέστη ἐν τούτῳ καὶ τοῦ Διοικητοῦ Καβάζπασης, ὅστις ἀνερευνήσας τὴν αἰτίαν τοῦ θορύβου, ἤκουσε παρὰ τῶν ἐκεῖσε Ὀθωμανῶν, ὅτι οὗτος, δεικνυόντων τὸν Γεώργιον, Τοῦρκος γενόμενος πρό τινος καιροῦ, ἤδη Χριστιανὸς διάγει· ὁ δὲ συνεχῶς ἀνακράζων, Χριστιανὸς καὶ ἤμην πάντοτε, καὶ εἰμί, καὶ οὐδέποτε Τοῦρκος ἐγενόμην, συλληφθεὶς ὑπὸ τοῦ Καβάζπαση, ἐφυλακίσθη, καὶ περὶ τὸ δειλινὸν ἀπήχθη εἰς τὸν Μεχκεμέν, ὅπου ἐξετασθείς, καὶ ποικιλοτρόπως βιασθεὶς εἰς τὴν ἐξόμοσιν, διέμεινεν ἀκράδαντος ἐπὶ τὴν ὁμολογίαν τῆς ἀμωμήτου ἡμῶν πίστεως, καὶ ἀπαχθείς, αὖθις ἐφυλακίσθη. Ὁ Ἀρχιερατεύων τότε ἐν Ἰωαννίνοις Ἰωακεὶμ ὁ ἀπὸ Δρυϊνουπόλεως, (ὁ ἐν ὑστέροις ἀπὸ Κυζίκου εὐκλεῶς Πατριαρχεύσας), ἀπῆλθεν εἰς τὸν Μεχκεμὲν κατ' ἐκείνην τὴν ἑσπέραν, εἰπών, ὅ,τι ἔδει, καὶ λόγοις ἰσχυροῖς καὶ ἀναντιρρήτοις ἀνασκευάσας τὰ κατὰ τοῦ μακαρίου Γεωργίου χαλκευθέντα, ἅτινα καὶ τῇ Διοικήσει μεταβὰς ἐπανεῖπε, ἀλλ' εἰς οὐδὲν ἴσχυσαν οἱ λόγοι αὐτοῦ, καίτοι βάσιμοι καὶ ἀληθεῖς.

Κατ' ἐκείνην τὴν νύκτα πολυειδῶς βασανισθεὶς ὁ Γεώργιος ἐν τῇ εἱρκτῇ ἵνα ἀρνήσηται τὴν πρὸς Χριστὸν πίστιν, διαμεμένηκε ἀσάλευτος καὶ ἀμετακίνητος ἐκ τῆς ἀρραγοῦς ἐπὶ τὴν εὐσέβειαν στάσεως, καὶ τῇ Πέμπτῃ πρωῒ ἀπήχθη καὶ αὖθις τῷ Μεχκεμέν, ἔνθα ποικιλοτρόπως ἐν πρώτοις κολακευθείς, καὶ ἐν ὑστέροις ἀπειληθείς, οὐδόλως ἐνέδωκε· καὶ ἐμπτυόμενος, καὶ μαστιγούμενος ὑπὸ τῶν περιεστώτων Ὀθωμανῶν, ἐφώνει μόνον τοῦτο τὸν μακάριον λόγον· Χριστιανός εἰμι· καὶ πάλιν ἀχθεὶς ἐν τῇ εἱρκτῇ, ἐβασανίσθη δι' ὅλης τῆς νυκτός, ἐπιφωσκούσης Παρασκευῆς, ἀκίδων ἐμπαγεισῶν ὑπὸ τοὺς ὄνυχας αὐτοῦ, καὶ πετρῶν μεγάλων ἐπιτεθεισῶν ἐπὶ τὰ στήθη αὐτοῦ, ἅτινα γενναίως ὑπέφερε, συνεχῶς ἀναφωνῶν· Χριστιανός εἰμι· τὸ δὲ Σάββατον πρωῒ ἀπήχθη εἰς τὸν Μεχκεμέν, ὅπου σύλλογος ἐγένετο πολλῶν Ὀθωμανῶν· τότε προεβλήθη αὐτῷ, ἵνα ἐκλέξῃ ἓν τῶν δύο, ἢ νὰ λάβῃ πολλὰς καὶ μεγάλας ἀντιβραβεύσεις ἂν ἐξομόσῃ τὴν πάτριον πίστιν, ἢ νὰ λάβῃ θάνατον σκληρόν, ἂν ἐπιμείνῃ εἰς τὸ πρότερον φρόνημα αὐτοῦ. Ὁ δὲ μακάριος ἀνδρείᾳ ψυχῇ καὶ πεπαρρησιασμένῳ στόματι εὐθαρσῶς καὶ αὖθις ὡμολόγησε βοῶν ἐπὶ πάντων τῶν συνελθόντων ἀσεβῶν· «Χριστιανὸς καὶ ἤμην ἀπ' ἀρχῆς, Χριστιανός εἰμι καὶ ἔσομαι μέχρι τελευταίας μου πνοῆς». Τρὶς εἰσήχθη ἐνώπιον τοῦ κριτοῦ, καὶ τρὶς ἐξήχθη, καὶ ἐπεὶ ἔστη ἀπερίτρεπτος καὶ στερρὸς τῇ εὐσεβεῖ ὁμολογίᾳ, ἐδόθη ἡ τελευταία ἀπόφασις, γεγραμμένη τῇ τοῦ κριτοῦ χειρί, ἵνα θανάτῳ παραδοθῇ. Τότε ἀπήγαγον αὐτὸν ἐπὶ τὸν ἀνθύπατον (Κεχαγιάμπεην) ὅπου πολυειδῶς ἀπειληθείς, οὐκ ἐνέδωκεν· ἐκεῖθεν δὲ ἀπήχθη καὶ τῷ Διοικητῇ Μουσταφᾷ Πασᾷ· ὁμολογήσας δὲ καὶ ἐνώπιον αὐτοῦ ἀδεῶς τὸν Σωτῆρα καὶ Κύριον Ἰησοῦν Χριστόν, ἐβλήθη καὶ πάλιν ἐν τῇ εἱρκτῇ, καὶ τῇ Δευτέρᾳ τῆς ἑβδομάδος, Ἰανουαρίου 17η, περὶ ὥραν ἕκτην τῆς ἡμέρας ἀπηγχονίσθη ἐν τῇ ἀγορᾷ τοῦ χάνδακος τοῦ μεγάλου φρουρίου, συνεχῶς ἀνακράζων καὶ ἀναφωνῶν· «Χριστιανός εἰμι, ποιήσατέ μοι εἴτι δεινὸν οἴδατε». Ἔμεινε τὸ σῶμα τοῦ μακαρίου Γεωργίου κρεμάμενον μέχρι τῆς Τετάρτης, Ἰανουαρίου 19η· καὶ κατ' αὐτὴν ἐδωρήθη τὸ μαρτυρικὸν σῶμα, παρὰ τοῦ Διοικητοῦ Μουσταφᾶ Πασᾶ Βεζύρη, τῷ ῥηθέντι Μητροπολίτῃ Ἰωαννίνων Ἰωακείμ, ὅπερ, μετακομισθὲν τῷ ἱερῷ Μητροπολιτικῷ ναῷ τοῦ Ἁγίου Ἀθανασίου τῆς πόλεως Ἰωαννίνων, ἐτάφη ἐκτὸς τοῦ Ἱεροῦ Βήματος, ἐν τῷ ἀριστερῷ μέρει μετὰ μεγάλης συνδρομῆς τῶν εὐσεβῶν Χριστιανῶν, ἐν πολλῇ εὐλαβείᾳ καὶ κατανύξει, καὶ ἱερᾷ παρατάξει παντὸς τοῦ ἱερατικοῦ κλήρου. Ἔτι δὲ ὂν κρεμάμενον τὸ μαρτυρικὸν σῶμα, φῶς ἄπλετον κατήρχετο οὐρανόθεν ἐν ταῖς νυξί, καὶ κατεκάλυπτεν αὐτό, εἰς ἔκπληξιν καὶ μέγαν θαυμασμὸν πάντων τῶν ὁρώντων, ὅπερ οὐ

www.tezaurliturgic.ro



μόνον τοῖς ἐγγύς, ἀλλὰ καὶ τοῖς πορρωτάτω ἀπέχουσιν ἐθεᾶτο λαμπρότατον. Τελεῖ δὲ ὁ τάφος αὐτοῦ ἀπειροληθεὶς ἰάσεις τοῖς μετὰ πίστεως προσερχομένοις, καὶ χοῦς καὶ ἔλαιον ἐκ τοῦ μνήματος καὶ τῆς φωταγωγοῦ αὐτοῦ, κομισθέντα ἀλλαχοῦ ὑπὸ πιστῶν καὶ εὐλαβῶν Χριστιανῶν, ἀπήλλαξαν δεινῶν παθῶν καὶ ἀνιάτων νόσων τοὺς μετὰ πίστεως θερμῆς λαβόντας ἐξ αὐτῶν. Τὰ τῆς ἀθλήσεως αὐτοῦ διεξοδικῶς, καὶ τὰ τελεσθέντα παρ' αὐτοῦ θαύματα καὶ λοιπὰς δυνάμεις ἰαμάτων, ἐξιστοροῦνται ἐκτενῶς ἐν τῷ μαρτυρικῷ αὐτοῦ ὑπομνήματι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου.

Στίχ. Ἔχει τι μεῖζον οὐρανὸς καὶ τῶν Νόων
Ἔξαρχον Ἀντώνιον, Ἀσκητῶν ἔχων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ἀντωνίου τοῦ Νέου, τοῦ ἐν τῇ Σκήτῃ τῆς Βερροίας ἀσκήσαντος.

Στίχ. Ἀντώνιον δὲ τὸν νέον ποῦ τακτέον,
Εἰ μὴ παρ' αὐτῷ τῷ πάλαι Ἀντωνίῳ;

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Ἀχιλλᾶς ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Ὅπλοις Ἀχιλλεὺς τὰς κάτω πορθεῖ πόλεις,
Πόνοις Ἀχιλλᾶς τὴν ἄνω πλουτεῖ πόλιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου τοῦ Μεγάλου.

Στίχ. Ἡ βασιλεία ἐμποδὼν οὐχ ὡράθη,
Σοί, ὦ Θεοδόσιε, πρὸς σωτηρίαν.

Ταῖς αὐτῶν πρεσβείαις Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα,
» ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες χαίροντες ἔψαλλον·
» ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ. (Δίς).

Τὸν ἀσώματον, ἀρρήτως σωματώσασα, Θεογεννήτρια, σωματικῶν με παθῶν, καὶ πάσης φαυλότητος, δεῖξον ἐλεύθερον, καὶ ἀπέργασαι, φωτὸς κατοικητήριον, τὴν καρδίαν μου Παρθένε.

Οὐρανώσασα, τὴν γεωθεῖσαν Ἄχραντε, φθόνῳ τοῦ ὄφεως, οὐσίαν τῶν γηγενῶν, τῇ θείᾳ κυήσει σου, κλίμαξ οὐράνιος, ἀναδέδειξαι, πρὸς οὐρανοὺς ἀνάγουσα, τοὺς πιστῶς σε προσκυνοῦντας.

www.tezaurliturgic.ro



Κυριώνυμον, κλῆσιν καὶ δόξαν ἄρρητον, Ἁγνὴ ἐπλούτησας, ἀποτεκοῦσα σαρκί, Κυρίων τὸν Κύριον, τὸν μόνον ἔνδοξον· ὅθεν δόξασον, τῇ δόξῃ τῆς σῆς χάριτος, ἡμᾶς ὦ Δεδοξασμένη.

Ὡραιότητι, τῆς ἐκπαγλοῦς ἁγνείας σου, ὡς κρίνον εὔοσμον, μέσον Ἁγνὴ ἀκανθῶν, ὡραίως ἐκλάμπουσαν, τεθεαμένος σε, ὁ Ὑπέρθεος, ἐν τῇ γαστρί σου ᾤκησε, καὶ βροτὸς ἐκ σοῦ ὡράθη.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Καθορῶντές σε, πάντες οἱ ἀντικείμενοι, θερμῶς προσκείμενον, τῇ ἀγαπήσει Χριστοῦ, ποικίλοις ἐχρήσαντο, τρόποις Γεώργιε, ἀποστῆναί σε, τῆς ἀκλινοῦς σου στάσεως, ἀλλ' ᾐσχύνθησαν εἰς τέλος.

Λαμπρυνόμενος, τῇ τῶν ἠθῶν ἁπλότητι, ἁπλοῦς καὶ μέτριος, ὤφθης τῇ ὄψει στερρέ, ἀλλ' ἔνδον τῆς πίστεως, τὴν φλόγα ἔφερες, δι' ἧς ἔλαμψας, ἀθλητικῶς Γεώργιε, τοὺς πιστοὺς καταφαιδρύνων.

Ἐπεσκίασε, τῇ θήκῃ τῶν λειψάνων σου, τοῦ θείου Πνεύματος, ἡ δαψιλὴς δωρεά· ἐντεῦθεν ἰάσεων, ἄφθονα νάματα, βλύζει πάντοτε, καὶ θεραπεύει ἅπασαν, μαλακίαν τε καὶ νόσον.

Ὄλβον ἔνθεον, καὶ μέγαν ἀντιλήπτορα, Ἰωαννίνων σε, ἡ πόλις ἡ εὐκλεής, πλουτοῦσα Γεώργιε, λαμπρῶς γεραίρει σε, καὶ ἀγάλλονται, ἐν τῇ ἁγίᾳ μνήμῃ σου, εὐσεβῶς οἱ Ἠπειρῶται.

Θεοτοκίον.

Σάρκα ἔμψυχον, καὶ ἔννουν ἐκ σοῦ ἔλαβεν, ὁ Ὑπερούσιος, δίχα τροπῆς καὶ φυρμοῦ, καὶ ἄνθρωπος τέλειος, ἐκ σοῦ γεγέννηται, ἐκκαλούμενος, Ἀδὰμ τὸν πρῶτον ἄνθρωπον, ἐκ τοῦ Ἅδου Θεοτόκε.

Καταβασία.

»Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ »ἀκηράτῳ ἐνοικήσαντα, Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳ»δοῦντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

»Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, »τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην »ἅπασαν ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερ»υψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. (Δίς).

Γένους τοῦ βροτείου σωτηρία, ὡράθης Θεογεννῆτορ καὶ ἀνάπλασις· τῶν γὰρ ὑπὲρ ἔννοιαν, ἀγαθῶν ἠξίωσας, τῇ ἀμέμπτῳ λοχείᾳ σου, τοὺς ἀνακράζοντας· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Ἔφερες ὡς θεία μυροθήκη, τὸ μύρον Παρθενομῆτορ τὸ ἀκένωτον, κόσμῳ παρεχόμενον, τὴν ὀσμὴν τῆς γνώσεως, καὶ εὐωδίαν ἄϋλον ἡμῖν δωρούμενον, τοῖς πίστει εὐλογοῦσί σε Κόρη, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ῥήσεων Ἁγνὴ Προφητοφθέγκτων, καὶ τύπων τῶν σκιωδῶν γέγονας πλήρωμα· σὺ γὰρ τὸν λαλήσαντα, τοῖς Προφήταις πρότερον, σωματικῶς ἐγέννησας· ᾧ πάντες ψάλλομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἄρτῳ μετανοίας θεαρέστου, λιμώττουσαν τὴν ψυχήν μου θρέψον Ἄχραντε, τὸν νοῦν μου καταύγασον, ἱεροῖς νοήμασι, καὶ θείας κατανύξεως πλήρωσον δέομαι, καρδίαν μου τὴν κατεσπιλωμένην, ὡς ἂν ἀπαθείας, καρποφορήσῃ στάχυν.

### Τοῦ Ἁγίου. Ὁ αὐτός.

Γέγονεν ἡ ἄθλησίς σου Μάρτυς, χαρὰ μὲν τοῖς εὐσεβέσι καὶ ἑδραίωμα, πᾶσι τοῖς ἀπίστοις δέ, ὄνειδος καὶ ἔλεγχος· γενναίως γὰρ ἐνήθλησας καὶ ἐμεγάλυνας, ἐσχάταις ταῖς ἡμέραις θεόφρον, τοῦ σοῦ ἀθλοθέτου, τὴν παναγίαν κλῆσιν.

Ἔτρεχες ψυχῇ ἀγαλλομένῃ, πρὸς θάνατον Ἀθλοφόρε τὸν μακάριον, καὶ τοὺς καθορῶντάς σε, ἀληθῶς ἐξέπληξας· ἀνδρείως τὴν ἀγχόνην γὰρ Μάρτυς ὑπέμεινας, καὶ ἤρθης πρὸς μονὰς οὐρανίους, καὶ τῶν σῶν ἀγώνων, τὸν στέφανον ἐδέξω.

Ῥώμην τῆς ψυχῆς σου καὶ τὸν τόνον, δαιμόνων φαλαγγαρχίαι ἐπτοήθησαν, ἄνωθεν δὲ Ἄγγελοι, ᾔνεσαν τοὺς ἄθλους σου, καὶ τῶν Μαρτύρων τάγματα σὲ ὑπεδέξαντο, λαμπρὸν συγχορευτὴν ἐν ὑψίστοις, μεθ' ὧν ἐκδυσώπει, ὑπὲρ ἡμῶν τρισμάκαρ.

### Θεοτοκίον.

Ἄχραντε Παρθένε Θεοτόκε, Ἀγγέλων καὶ Ἀρχαγγέλων ἀγαλλίαμα, Προφητῶν ἐνήχημα, Ἀσκητῶν ἑδραίωμα, καὶ τῶν Μαρτύρων στέφανος ὁ ἀμαράντινος, δυσώπει τὸν Υἱόν σου καὶ Πλάστην, δοῦναι τὴν εἰρήνην, πάσῃ τῇ οἰκουμένῃ.

### Καταβασία.

» Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες Νεανίαι,
» τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· Εὐλο-
» γεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς
» αἰῶνας.

www.tezaurliturgic.ro



## ᾨδὴ θ'. Ὁ Εἱρμός.

» Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος·
» πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ
» θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· χαίροις παμμακάριστε,
» Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε. (Δίς).

Σὺ εἶ ἀληθῶς, ἡ πόλις ἡ ἔμψυχος τοῦ Παντοκράτορος, περὶ ἧς λελάληνται, δεδοξασμένα καὶ ἀξιάκουστα· ἐν σοὶ γὰρ σωματούμενος ὁ Λόγος ᾤκησε, καὶ πολίτας οὐρανοῦ ἀνέδειξε, τοὺς ὀρθὰ Θεοτόκον φρονοῦντάς σε.

Ἴασαι ψυχῶν, ἡμῶν ἀρρωστήματα Θεοχαρίτωτε, καὶ σωμάτων τραύματα, τῇ συμπαθεῖ σου παῦσον χρηστότητι· τὸν ἰατρὸν γὰρ ἔτεκες τὸν ἰασάμενον, τοῦ βροτείου, γένους τὸ ὀλίσθημα, καὶ τὴν πτῶσιν ἡμῶν ἀνορθώσαντα.

Μύρου νοητοῦ, ἀλάβαστρον γέγονας Ἁγνὴ πολύτιμον, φέρουσα ἐν κόλποις σου, τὸν τὰς εὐώδεις βλύζοντα χάριτας, Χριστὸν τὸν Ὑπεράγαθον τὸν καταργήσαντα, τὴν δυσώδη, πλάνην καὶ παμβέβηλον, τῇ ὀσμῇ τῆς αὐτοῦ ἐπιγνώσεως.

Ὕλη καθαρά, εὑρέθης καὶ ἄμωμος πρὸ πάσης κτίσεως, τῷ δι' ἀγαθότητα, εἰς ἑαυτοῦ σε Μητέρα ἄφθορον, ἐκλεξαμένῳ Ἄχραντε· διὸ ἐκκάθαρον, τὴν ψυχήν μου, τῶν δεινῶν προλήψεων, καὶ δοχεῖον φωτὸς ταύτην ἔργασαι.

Ὕψωσας ἡμᾶς, ἐκ λάκκου Πανάμωμε τῆς κατακρίσεως, τῷ ὑψίστῳ τόκῳ σου, πρὸς τὴν ἀγήρω μακαριότητα· ἀλλὰ καὶ νῦν κατάβαλε τοὺς μεγαλαύχους ἐχθρούς, ἵνα γνῶσι, ἔθνη τὰ πολέμια, ὅτι σκέπεις καὶ σῴζεις τὸν κλῆρόν σου.

### Τοῦ Ἁγίου. Ὁ αὐτός.

Σκῆνός σου σοφέ, τὸ θεῖον κρεμάμενον φῶς ἐπουράνιον, κατελθὸν ἐκάλυψε, καὶ φωτοφόρον τοῦτο εἰργάσατο, εἰς ἔνδειξιν ἀρίδηλον τῆς σῆς ἀθλήσεως, δι' ἧς κόσμῳ, ἤστραψας Γεώργιε, ὡς καινὸς ἑωσφόρος καὶ ἄδυτος.

Ἴσος Ἀθληταῖς, τοῖς πάλαι γενόμενος ἐν τῇ ἀθλήσει σου, τούτων καὶ τῆς χάριτος, καὶ τῶν στεφάνων ὤφθης ἰσότιμος, Γεώργιε μακάριε· ἔνθεν ὁ τάφος σου, ἰατρεῖον, ὄντως ἀδαπάνητον, ἀνεδείχθη τοῖς πάσχουσιν ἔνδοξε.

Μέγαν σε φρουρόν, καὶ θεῖον ἑδραίωμα καὶ ἀντιλήπτορα, καὶ τερπνὸν ἀγλάϊσμα, Ἰωαννίνων ἡ πόλις εὕρατο· διὸ καὶ ἑορτάζει σου τὴν μνήμην χαίρουσα, καὶ βοᾷ σοι· χαίροις παμμακάριστε, Νεομάρτυς Γεώργιε ἔνδοξε.

www.tezaurliturgic.ro



Ὄμβροις μυστικοῖς, τῆς ἐπιφοιτήσεως τοῦ Θείου Πνεύματος, ἀρδομένη πάντοτε, ἡ τῶν πανσέπτων σορὸς λειψάνων σου, ὡς ποταμὸς τὴν πόλιν σου εὐφραίνει ἔνδοξε, ἰαμάτων, δαψιλέσι νάμασι, δι' ὧν πλῦνον κἀμοῦ τὴν διάνοιαν.

Θεοτοκίον.

Ὕφαλον ἐχθρόν, ὑπούλως συλῶντά με καθ' ὥραν Ἄχραντε, λόγοις τε καὶ πράξεσι, καὶ παραλόγοις ἐννοίαις σύντριψον, καὶ δύναμιν παράσχου μοι κατὰ παθῶν βλαβερῶν, ἵνα πίστει, προσκυνῶ τὸ κράτος σου, καὶ τὴν δόξαν σου Κόρη τὴν ἄρρητον.

Καταβασία.

Θεοτόκε ἡ ἐλπίς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.

» Ἐν νόμῳ σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί· πᾶν
» ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ· διὸ πρωτότοκον
» Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, Ἀπειράνδρῳ
» μεγαλύνομεν.

Ἐξαποστειλάριον.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Μαρτυρικῶς ἠγώνισαι, ἀνενδότῳ καρδίᾳ, καὶ τὸν Χριστὸν ἐδόξασας, τῇ στερρᾷ σου ἀθλήσει, παρ' οὗ πλουσίως ἐδέξω, ἰαμάτων τὴν χάριν, καὶ δόξαν ὑπερκόσμιον, ὡς κλεινὸς Ἀθλοφόρος ὡς καθελών, τοῦ Βελίαρ ἅπασαν δυναστείαν, τοῖς ἱεροῖς σου σκάμμασι, Γεώργιε Νεομάρτυς.

Θεοτοκίον.

Θεὸν ἀφράστως τέτοκας, ἐξ ἁγνῶν σου αἱμάτων, οὐσιωθέντα Πάναγνε, ἀγαθότητος πλούτῳ, ἣν περ διέπλασε φύσιν, εἰς ἀνάπλασιν κόσμου· διό σε μακαρίζομεν, ὡς προέφησας πᾶσαι αἱ γενεαί, ὡς Θεοῦ Μητέρα δεδοξασμένη, καὶ κόσμου καταφύγιον, καὶ βροτῶν σωτηρίαν.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ἰωαννίνων ἡ πόλις σήμερον τέρπεται, λαμπρῶς ἐπιτελοῦσα, τὴν ἁγίαν σου μνήμην· προστάτην γάρ σε κέκτηται θαυμαστόν, Νεομάρτυς Γεώργιε, καὶ ὡς πηγὴν ἁγιάσματος τὴν σορόν, θησαυρίζει τῶν λειψάνων σου.

www.tezaurliturgic.ro



Απεριτρέπτῳ καρδίᾳ ὑπῆλθες Ἅγιε, Μαρτύρων τοὺς ἀγῶνας, ἐκβοῶν τοῖς τυράννοις· Χριστοῦ μου δοῦλος πέλω καὶ δι' αὐτόν, τὸ θανεῖν εἰμι ἕτοιμος· καὶ τὴν ἀγχόνην Γεώργιε ἐνεγκών, Ἀθλητὴς ὤφθης περίδοξος.

Φῶς κατελθὸν οὐρανόθεν ὅλον ἐκάλυψεν, ἐκπλῆττον τοὺς ὁρῶντας, τὸ σὸν ἅγιον σῶμα, καὶ ἅπασιν ἐμφαῖνον ἣν ἐκ Θεοῦ, δόξαν ἔσχες οὐράνιον, ὡς Νεομάρτυς Κυρίου περιφανής, Ἀθλητὰ Χριστοῦ Γεώργιε.

Ἡ τῶν λειψάνων σου θήκη Ἁγίῳ Πνεύματι, τοῖς πᾶσιν ἰατρεῖον, ἀληθῶς ἀνεδείχθη· τυφλοὺς γὰρ ὀμματοῦται καὶ ἀνορθοῖ, παραλύτους Γεώργιε, καὶ δαιμονῶντας τῆς μάστιγος τοῦ ἐχθροῦ, ἀπαλλάττει τῇ πρεσβείᾳ σου.

Δόξα... Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, κροτήσωμεν τῷ πνεύματι, καὶ σκιρτήσωμεν εὐφραινόμενοι, ἐν τῇ πανδήμῳ μνήμῃ τοῦ Ἀθλοφόρου Χριστοῦ. Ἱερεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τῶν δι' ἀγώνων μαρτύρων ἐπ' ἐσχάτων, ἑαυτὸν προσάξαντα, ἱερεῖον ὥσπερ ἄμωμον, τῷ Σωτῆρι τῶν ἁπάντων, ἀνυμνείτωσαν. Χορεῖαι φιλομάρτυρες, τὸν νέον Ἀθλοφόρον Χριστοῦ τοῦ Βασιλέως, συνδραμόντες εὐφημήσωμεν. Οἱ ἐν νόσοις τὸν ἰατρόν, οἱ χωλοὶ τὴν εὐδρομίαν, οἱ κωφεύοντες τὴν θεραπείαν, οἱ ἄλαλοι τὸν λυτρωτήν, οἱ τυφλώττοντες τὴν φωταγωγίαν, τὴν ἀνόρθωσιν οἱ παρειμένοι, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν· οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, ἔνδοξον Νεομάρτυρα, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Γεώργιε πανεύφημε, λύτρωσαι ἡμᾶς τῇ χάριτί σου ἐκ πάσης ἀνάγκης, καὶ σκέπε τὴν πόλιν σου, ταῖς ἱκεσίαις σου.

Καὶ νῦν... Ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν, ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει, τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρίν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ διδάσκαλοι, τὴν τοῦ καλοῦ ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν. Τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον νεφέλην, τὴν τῶν οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε κιβωτόν, τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον, τὴν μανναδόχον χρυσέαν στάμνον, τὴν κεκλεισμένην τοῦ Λόγου πύλην, ἁπάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς οὐρανῶν βασιλείας· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

www.tezaurliturgic.ro




# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ' καὶ στ' Ὠδή.

## Ἀπόστολος.

Προκείμενον. Ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Στίχ.** Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
(Κεφ. στ'. 10).

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ· ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.

www.tezaurliturgic.ro



Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

(Κεφ. ι', 16),

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἰδού, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώγουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσετε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ὑμᾶς ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάρια.

Χαίροις τῆς Ἠπείρου θεῖος πυρσός, καὶ Ἰωαννίνων, πολιοῦχος καὶ ἀρωγός· χαίροις ὁ πηγάζων, ἰάσεων τὰ ρεῖθρα, Γεώργιε τρισμάκαρ, τοῖς σοὶ προστρέχουσι.

Ἀθλητῶν τῶν πάλαι τὸν μιμητήν, καὶ Νεομαρτύρων, ἀκροθίνιον τὸ σεπτόν, ἄνθεσιν ᾀσμάτων, αἰνέσωμεν ἀξίως, Γεώργιον Κυρίου τὸν Νεομάρτυρα.

Γάνυται τῇ μνήμῃ σου Ἀθλητά, τῶν Ἰωαννίνων, ὁ θεόφρων ἤδη λαός, καὶ περιεστὼς σου, Γεώργιε τῷ τάφῳ, τὴν ἐν αὐτῷ οἰκοῦσαν, χάριν ἀρύεται.

Χαίροις τῶν Μαρτύρων σεπτὴ δυάς, σὺν τῷ Ἰωάννῃ, ὁ Γεώργιος ὁ κλεινός, τῶν Ἰωαννίνων, ἀγλάϊσμα καὶ δόξα, Ἠπειρωτῶν δὲ πάντων, πρέσβεις πρὸς Κύριον.

Δίστιχον.

Γεώργιε δέχου τὸν παρόντα ὕμνον
Ὃν Ἠπειρώτης σοι Γεράσιμος πλέκει.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΝΕΟΜΑΡΤΥΡΑ ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΕΞ ΙΩΑΝΝΙΝΩΝ, ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ **Κύριε εἰσάκουσον...**, μεθ' ὃ τὸ Θεὸς **Κύριος**... καὶ τὰ ἑξῆς·

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ Νεομάρτυρος τῷ θείῳ τεμένει, οἱ συνεχόμενοι παθῶν ταῖς ὀδύναις, προσέλθωμεν κραυγάζοντες ἐκ βάθους ψυχῆς· Ἅγιε Γεώργιε ἰατρὲ τῶν νοσούντων, σπεῦσον καὶ ἀπάλλαξον, τῆς παρούσης ἀνάγκης, τοὺς ἐκζητοῦντας πίστει ἀκλινεῖ, τὴν σὴν βοήθειαν, Μάρτυς ἑκάστοτε.

Δόξα... Ὅμοιον.

Ὡς πολιοῦχον καὶ θερμότατον ρύστην, καὶ ἀρωγὸν καὶ βοηθὸν ἐν ἀνάγκαις, πλουτοῦντές σε Γεώργιε βοῶμέν σοὶ θερμῶς· Σκέπε ἡμᾶς πάντοτε, τῶν ἐν βίῳ κινδύνων, φύλαττε τὴν πόλιν σου, ἐν εἰρήνῃ τελείᾳ, καὶ τὰς αἰτήσεις δίδου συμπαθῶς, τῶν εὐλαβῶς προσφοιτώντων τῷ οἴκῳ σου.

Καὶ νῦν... Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διαφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

www.tezaurliturgic.ro



Εἶτα ὁ Ν' Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·

Ἰάσεις διδοίης Νεομάρτυς. Γερασίμου.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ἰάσεις παρέχων παντοδαπάς, ψυχῶν καὶ σωμάτων, θεραπεύεις πάθη δεινά, Γεώργιε νέε Ἀθλοφόρε, τοῖς προσιοῦσι θερμῶς τῇ πρεσβείᾳ σου.

Ἀθλήσας νομίμως ὑπὲρ Χριστοῦ, λαμπρῶς ἐδοξάσθης, τῶν θαυμάτων τῇ δωρεᾷ, καὶ πᾶσι παρέχεις τὰς αἰτήσεις, τοῖς προσφοιτῶσι τῷ οἴκῳ σου Ἅγιε.

Σωμάτων ὀδύνας τὰς χαλεπάς, ἰᾶσαι ταχέως, Νεομάρτυς θαυματουργέ, καὶ μέλη συσφίγγεις παρεθέντα, τῇ δεδομένῃ θεόθεν σοι χάριτι.

Θεοτοκίον.

Ἐκύησας Κόρη σωματικῶς, τὸν ἄσαρκον Λόγον, ὑπὲρ λόγον δίχα τροπῆς· διὸ τῶν παθῶν τῆς ἀλογίας, τὴν μολυσθεῖσαν καρδίαν μου κάθαρον.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἰαμάτων σε κρήνην, ὡς ἀληθῶς ἔδειξε, κόσμῳ τῆς ζωῆς ὁ ταμίας, Μάρτυς Γεώργιε· ὅθεν τὰ νάματα, καὶ τὰ γλυκύτατα ρεῖθρα, πάσης παρακλήσεως, βλῦσον τοῖς πάσχουσι.

Σωτηρίας σε πύργον, καὶ ἀσφαλῆ πρόβολον, τῶν Ἰωαννίνων ἡ πόλις, ἔχουσα Ἅγιε, πάσης στενώσεως, καὶ δυσπραγίας καὶ βλάβης, ρύεται Γεώργιε, τῇ προστασίᾳ σου.

Δυσχερείας ἁπάσης, καὶ χαλεπῶν θλίψεων, καὶ φθοροποιῶν ἀλγηδόνων, καὶ περιστάσεων, λύτρωσαι Ἅγιε, τοὺς ἀδιστάκτῳ καρδίᾳ, σπεύδοντας Γεώργιε, τῷ θείῳ τάφῳ σου.

Θεοτοκίον.

Ἰατρὸν καὶ Σωτῆρα, τὸν τοῦ παντὸς τέξασα, Λόγον τὸν τὸ εἶναι τοῖς πᾶσιν, Ἁγνὴ παρέχοντα, ἴασαι δέομαι, τὴν ἀσθενοῦσαν ψυχήν μου, τῇ σῇ ἀγαθότητι, μόνη Πανύμνητε.

Διάσωσον ἀπὸ κινδύνων καὶ πόνων καὶ νοσημάτων, τοὺς ἐν πίστει τῇ σῇ προστρέχοντας χάριτι, καὶ σὲ τιμῶντας Γεώργιε Νεομάρτυς.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

www.tezaurliturgic.ro



Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Προστάτης θερμός, καὶ μέγα καταφύγιον, ἐδόθης ἡμῖν, παρὰ Θεοῦ Γεώργιε· διὸ ἡμᾶς ἀπάλλαξον, πολυτρόπων κινδύνων καὶ θλίψεων, καὶ τὴν ὑγείαν χορήγει ἀεί, τοῖς κάμνουσι πόνοις τε καὶ πάθεσι.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Δωρεὰν Μάρτυς οἴκτειρον, τοὺς προσερχομένους τῷ σεπτῷ οἴκῳ σου, καὶ παράσχου τὰ αἰτήματα, τὰ κατὰ ψυχὴν καὶ σῶμα Ἅγιε.

Ὀδυνῶν ἀπολύτρωσαι, τοὺς συνεχομένους νόσοις καὶ πάθεσι, καὶ δαιμόνων τὴν ἐπήρειαν, ἐξ ἡμῶν ἀπέλασον Γεώργιε.

Ἰατρεῖον ἀδάπανον, πάσης ἀσθενείας πάσης κακώσεως, ἡ σορὸς ἡ τῶν λειψάνων σου, ὤφθη θείῳ Πνεύματι Γεώργιε.

Θεοτοκίον.

Ἡ τὸν Ἥλιον λάμψασα, τῆς δικαιοσύνης ἡμῖν ἐν σώματι, λάμπρυνόν μου τὴν διάνοιαν, τὴν ἐσκοτισμένην Μητροπάρθενε.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Σκέπασον ἡμᾶς, ἐπηρείας τοῦ ἀλάστορος, καὶ κατάβαλε αὐτοῦ τὰς μηχανάς, ἃς τεκταίνει καθ' ἡμῶν Μάρτυς Γεώργιε.

Νᾶμα μυστικόν, εὐφροσύνης καὶ χρηστότητος, ὁ σὸς τάφος ἀναβλύζων νοερῶς, κατευφραίνει τὰς ψυχὰς ἡμῶν Γεώργιε.

Ἔχει σε θερμόν, ἀντιλήπτορα Γεώργιε, ὁ λαὸς Ἰωαννίνων ὁ πιστός· διὰ τοῦτο ἐγκαυχᾶται τῇ σῇ χάριτι.

Θεοτοκίον.

Ὅλην μου πρὸς σέ, ἀνατείνω τὴν διάνοιαν, ἵνα τύχω τῆς σῆς χάριτος Ἁγνή· Ἀλλ' ὦ Δέσποινα βοήθει μοι καὶ σῶσόν με.

Ὠδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Μεγάλως παρὰ Χριστοῦ ἐδοξάσθης, καὶ ἰάματα πηγάζεις ποικίλα, καὶ θεραπεύεις δεινὰς ἀσθενείας, καὶ ἀπελαύνεις ἀκάθαρτα πνεύματα· καὶ νῦν παράσχου Ἀθλητά, καὶ ἡμῖν τὴν σωτήριον χάριν σου.

Ἀλάλοις ὡς τὴν φωνὴν ἐχαρίσω, καὶ ἠνώρθωσας πολλοὺς παραλύτους, καὶ τοῖς χωλοῖς εὐδρομίαν παρέσχες, οὕτω καὶ νῦν Νεομάρτυς Γεώργιε, παράσχου ἅπασιν ἡμῖν, ἐπελθόντων δεινῶν τὴν ἐκλύρωσιν.

www.tezaurliturgic.ro



Ρυσθῆναι πειρατηρίων παντοίων, καὶ στενώσεων ἡμᾶς ἐπωδύνων, καὶ ἐν εἰρήνῃ διάγειν τὸν βίον, τὸν Ποιητὴν τῶν ἁπάντων ἱκέτευε, Γεώργιε θαυματουργέ, Νεομάρτυς Χριστοῦ ἀξιάγαστε.

Θεοτοκίον.

Τὸν πάντων κυοφορήσασα Κτίστην, ἐξ ἁγνῶν σου ὑπὲρ φύσιν αἱμάτων, ἐκ τῆς φθορᾶς ἀνακτώμενον κόσμον, φθοροποιῶν λογισμῶν με ἀπάλλαξον, καὶ ῥύθμισόν μου τὴν ζωήν, Θεοτόκε Ἁγνὴ θείῳ ἔρωτι.

Διάσωσον ἀπὸ κινδύνων καὶ πόνων καὶ νοσημάτων, τοὺς ἐν πίστει τῇ σῇ προστρέχοντας χάριτι, καὶ σὲ τιμῶντας Γεώργιε Νεομάρτυς.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Ὡς ἀντιλήπτορα μέγαν Γεώργιε, Ἰωαννίνων ἡ πόλις γεραίρει σε, καὶ καυχωμένη τοῖς θείοις σου θαύμασι, τὴν σὴν ὀξεῖαν κηρύττει ἀντίληψιν· αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα.

Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

(Κεφ, ι' 16).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἰδού, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσετε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

www.tezaurliturgic.ro



Δόξα... Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἤθλησας στερρότατα, ἐν ταῖς ἐσχάταις ἡμέραις, καὶ Χριστὸν ἐδόξασας, καὶ ἐχθρὸν κατῄσχυνας τῇ ἀθλήσει σου, Ἀθλητὰ ἔνδοξε· ὅθεν ἐδοξάσθης, ἰαμάτων τοῖς χαρίσμασι, καὶ νέμεις ἅπασι, ῥῶσιν καὶ ὑγείαν καὶ ἔλεος, τοῖς πίστει καταφεύγουσι, τῷ σεπτῷ σου τάφῳ Γεώργιε· καὶ νῦν ἐκδυσώπει, πταισμάτων ἡμῖν δοῦναι ἱλασμόν, καὶ δυσχερῶν ἀπολύτρωσιν, Χριστὸν τὸν φιλάνθρωπον.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὑπαχθέντα με Μάρτυς, τοῦ ἐχθροῦ τῇ κακίᾳ νοΐ ἀγνώμονι, ἐκλύτρωσαι ταχέως, τῇ σῇ ἐπιστασίᾳ, ὁ πολλοὺς λυτρωσάμενος, ἐκ τυραννίδος πικρᾶς, πνευμάτων ἀκαθάρτων.

Σωμάτων ἀρρωστίας, καὶ ψυχῶν καχεξίας ἡμᾶς ἀπάλλαξον, καὶ δίδου εὐρωστίαν, ἡμῖν καὶ εὐεξίαν, καὶ πταισμάτων συγχώρησιν, ταῖς ἱκεσίαις ταῖς σαῖς, Γεώργιε τρισμάκαρ.

Γεωργίᾳ ἀΰλῳ, τῆς σεπτῆς σου πρεσβείας Μάρτυς Γεώργιε, γεώργει εὐπραγίαν, καὶ πᾶσαν χορηγίαν, ἀγαθῶν ἡμῖν πράξεων, καὶ σωτηρίαν ψυχῆς, καὶ θείαν εὐφροσύνην.

Θεοτοκίον.

Ἐσαρκώθη ἀτρέπτως, ἐξ ἁγνῶν σου αἱμάτων καὶ ὤφθη ἄνθρωπος, ὁ Πλάστης τῶν ἀνθρώπων, τὸν ἄνθρωπον καινίζων, τῆς κατάρας δι' ἔλεος, ὃν ἐκδυσώπει Ἁγνή, σῶσαι τοὺς σὲ ὑμνοῦντας.

Ὠδὴ η'. Τὸν βασιλέα.

Ῥῶσιν παράσχου, τοῖς χαλεπῶς ἀσθενοῦσι, καὶ ἀνόρθωσιν τοῖς παραλελυμένοις, ὡς λαβὼν τὴν χάριν, παρὰ Κυρίου Μάρτυς.

Ἀρρωστημάτων, σὲ ἰατῆρα ποικίλων, ὡς πλουτήσαντες Γεώργιε θεόθεν, ἐν πάσῃ ἀνάγκῃ, τῇ σῇ σπεύδομεν σκέπῃ.

Σύντριψον Μάρτυς, τὸν καθ' ἡμῶν οἷα θῆρα, ὠρυόμενον ἐχθρὸν τὸ παλαμναῖον, καὶ τῆς τούτου βλάβης, ἡμᾶς ἀτρώτους τήρει.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἴασαι Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ κατάνυξιν ἐν τῇ καρδίᾳ δίδου, ὡς ἂν ἀποπλύνω, τὸν ρύπον τῆς κακίας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Μὴ παύσῃ ἐποπτεύων, ταύτην σου τὴν πόλιν, τὴν προσκειμένην θερμῶς τῇ σῇ χάριτι, Νεομαρτύρων τὸ κλέος Μάρτυς Γεώργιε.

Ὁ πᾶσι τὰς αἰτήσεις, νέμων τοῖς φοιτῶσι, τῷ σῷ τεμένει Γεώργιε Ἅγιε, δίδου ἡμῖν ἐν ἀνάγκαις τὴν σὴν βοήθειαν.

Ὑπὲρ τῶν σὲ τιμώντων, πάντοτε δυσώπει, τὴν Παναγίαν Τριάδα Γεώργιε, ὡς ἂν ζωῆς αἰωνίου ἀξιωθείημεν.

Θεοτοκίον.

Ὑψίστου Λόγου Μῆτερ, Ἄχραντε Παρθένε, ἁμαρτιῶν καταιγίδος με λύτρωσαι, καὶ πρὸς ζωῆς ἐναρέτου ὅρμον με ἴθυνον.

Τὸ Ἄξιόν ἐστι..., καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαίροις τῶν Μαρτύρων ὁ κοινωνός, καὶ λαμπρὰ προσθήκη, καὶ ἰσότιμος ἀληθῶς· χαίροις Νεομάρτυς, Γεώργιε θεόφρον, τῆς Ἐκκλησίας ἄστρον, νέον καὶ ἔκλαμπρον.

Πίστει διαπρέπων τῇ πρὸς Χριστόν, ἤθλησας νομίμως, ἐν φρονήματι ἀκλινεῖ, καὶ ἐμεγαλύνθης, ἀπείροις θαυμασίοις, γενναῖε Νεομάρτυς, , ἀξιοθαύμαστε.

Χαίρει κεκτημένη ὡς θησαυρόν, τὸν θεῖόν σου τάφον, καὶ τὸν οἶκόν σου τὸν σεπτόν, τῶν Ἰωαννίνων, Γεώργιε ἡ πόλις, καὶ τὴν σὴν προστασίαν, κηρύττει ἅπασι.

Ἄκακος καὶ μέτριος καὶ ἁπλοῦς, πέλων Ἀθλοφόρε, καὶ ἀκέραιος τῇ ψυχῇ, ᾔσχυνας ἀνόμων, τὸ φρύαγμα εἰς τέλος, τῇ πίστει τοῦ Κυρίου, ἀγωνισάμενος.

Ὤφθη ἰατρεῖον πνευματικόν, ὁ σεπτός σου οἶκος, Νεομάρτυς θαυματουργέ· χωλοὶ γὰρ ἰῶνται, καὶ παραλελυμένοι, προστρέχοντες ἐν τούτῳ, τῇ ἐπισκέψει σου.

Χαίροις θλιβομένων ἀναψυχή, καὶ κακουχουμένων, ἡ ταχεῖα ἀπαλλαγή· χαίροις Νεομάρτυς, Γεώργιε τρισμάκαρ, ἡμῶν πρὸς τὸν Σωτῆρα, πρέσβυς θερμότατος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

www.tezaurliturgic.ro



Τὸ Τρισάγιον, τὰ συνήθη Τροπάρια, ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντων βοηθὸς καὶ ἀρωγός, πέλων Νεομάρτυς Κυρίου, ἀξιοθαύμαστε, νέμεις τὰ ἰάματα, τοῖς προσιοῦσι θερμῶς, τῷ ἁγίῳ τεμένει σου, καὶ τοῖς ἐν ἀνάγκαις, βοηθεῖς ἑκάστοτε, ὡς συμπαθέστατος· ὅθεν δυσχερείας ἁπάσης, ἡμᾶς ἀσινεῖς διατήρει, Ἀθλητὰ Γεώργιε δεόμεθα.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον**

**Γεώργει Γεώργιε τῷ Γερασίμῳ**
**Κατ' ἄμφω τὴν ἴασιν, σοῦ δεομένῳ.**



www.tezaurliturgic.ro

# ΜΑΡΤΥΡΙΟΝ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ
# ΓΕΩΡΓΙΟΥ
# ΤΟΥ ΕΝ ΙΩΑΝΝΙΝΟΙΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ
# ΑΘΛΗΣΑΝΤΟΣ ΕΝ ΤΑΥΤῌ Τῌ ΠΟΛΕΙ ΚΑΤΑ ΤΟ ΕΤΟΣ 1838
# Τῌ 17ῃ ΙΑΝΟΥΑΡΙΟΥ.

Τίς νὰ διηγηθῇ, ἀγαπητοὶ ἐν Χριστῷ ἀδελφοί, τὴν δύναμιν καὶ τοὺς καρπούς, καὶ τὰ μεγαλεῖα τῆς Ὀρθοδόξου καὶ Ἁγίας ἡμῶν πίστεως, διὰ τῶν ὁποίων ἐπιβεβαιοῦται περιτράνως ἡ ἀλήθεια καὶ ἡ λαμπρότης αὐτῆς; Αὕτη, ὡς εὐκλεὴς θυγάτηρ τοῦ οὐρανίου Βασιλέως καὶ Σωτῆρος ἡμῶν Χριστοῦ, ἀπέτεκε καὶ ἤδη, ἐν Ἁγίῳ Πνεύματι, καθὼς τὸ πάλαι, τῇ ἁγίᾳ ἡμῶν Ἐκκλησίᾳ, τέκνα γνήσια καὶ ἀμώμητα, τοὺς νεοφανεῖς Μάρτυρας, τοὺς ὁποίους, ἀφοῦ ἀνέθρεψεν ὡς καλλίτεκνος μήτηρ μὲ τὸ ἄδολον τῆς εὐσεβείας γάλα, ἀνέδειξεν ἐν τέλει, ἄνδρας τελείους διὰ τοῦ μαρτυρίου, τοῦ πληρώματος τοῦ Χριστοῦ, φωστῆρας λόγον ζωῆς ἐν κόσμῳ ἐπέχοντας, στύλους καὶ ἑδραιώματα τῆς ἀληθείας, κατὰ τὴν τοῦ θεηγόρου Παύλου φωνήν.

Οἱ νέοι οὗτοι Μάρτυρες, οἱ κατὰ πάντα ἐφάμιλλοι καὶ ἰσότιμοι τῶν ἀρχαίων καὶ καλλινίκων Μαρτύρων, διὰ τῶν ἔργων καὶ ἀγώνων τῆς ἀθλήσεως αὐτῶν, ἔδειξαν κατὰ πάντα ἀναντίρρητον καὶ ἀληθινήν, καὶ κατὰ τοὺς ἐσχάτους καιρούς, ἢ μᾶλλον κατὰ τὰς ἡμέρας ἡμῶν τὰς πονηράς, τὴν Ἀποστολικὴν ρῆσιν «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας». (Ἑβρ. ιγ´ 8).

Ἀλλὰ καὶ διὰ τῶν ἀπείρων καὶ ποικίλων αὐτῶν θαυμάτων, δι᾽ ὧν διαλάμπουσι καὶ περιφανῶς διαπρέπουσιν εἰς πάντα κόσμον, ἠμαύρωσαν ὁλοσχερῶς τὰς ὄψεις τῆς καταργουμένης τοῦ κόσμου σοφίας, καὶ ἐνέφραξαν τὰ ἀπύλωτα στόματα, τὰ λαλοῦντα κατὰ τὸν Ψαλμῳδόν, «βλασφημίαν ἐν ὑπερηφανείᾳ καὶ ἐξουδενώσει», κατὰ τῆς ἁγίας ἡμῶν Ἐκκλησίας.

Ἐν τῷ χορῷ τῶν νεοφανῶν καὶ ἁγίων τούτων Μαρτύρων, διαλάμπει ὡς ἀστὴρ φαεινὸς καὶ ὁ Νεομάρτυς Ἅγιος Γεώργιος, τῶν Ἰωαννίνων τὸ περιφανὲς καύχημα καὶ ἐγκαλλώπισμα, καὶ ἡ ἀκένωτος καὶ θεόβρυτος βρύσις τῶν θαυμάτων, ἥτις διὰ τῆς χάριτος τοῦ Παναγίου Πνεύματος, βλύζει πάντοτε εἰς τοὺς μετὰ πίστεως προσερχομένους τῶν ἰαμάτων τὰ καθαρώτατα καὶ σωτήρια νάματα.

Οὗτος ὁ νέος τοῦ Χριστοῦ Ἀθλητής, ἐβλάστησεν «ὡς φοῖνιξ, κατὰ Δαβίδ, ἀειθαλὴς καὶ κατάκαρπος» ἐκ τῆς ἐπαρχίας Γρεβενῶν, γεννηθεὶς τὸ 1810 ἔντινι

www.tezaurliturgic.ro



χωρίῳ ὀνομαζομένῳ κοινῶς Τζούρχλι[1]. Οἱ γονεῖς αὐτοῦ ἐκαλοῦντο Κωνσταντῖνος καὶ Βασίλω ἢ Βασιλική, ἦσαν δὲ ἄνθρωποι πτωχοὶ καὶ ἐνδεεῖς, ἀλλ' εὐσεβεῖς πρὸς Θεόν, καὶ συνετηροῦντο ἐκ τῆς γεωργίας, ἕνεκα δὲ τούτου δὲν ἠδυνήθησαν νὰ μάθωσι τὸν υἱόν των γράμματα, πλὴν ὅμως ἀνέτρεφον αὐτῶν εὐσεβῶς, καὶ ὡς εἰπεῖν, «ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου».

Φθάσαντος τοῦ Γεωργίου τὸ ὄγδοον ἔτος τῆς ἡλικίας, ἀπέθανον οἱ γονεῖς του καὶ ἔμεινεν ὑπὸ τὴν στέγην καὶ προστασίαν τοῦ μεγαλειτέρου ἀδελφοῦ καὶ τῆς ἀδελφῆς του, πτωχῶν καὶ τούτων γεωργῶν. Ἡλικιωθεὶς δὲ ἦλθεν εἰς τὴν πόλιν τῶν Ἰωαννίνων καὶ προσεκολλήθη ὡς μισθωτὸς εἰς διαφόρους προὔχοντας (Ἀγάδες) τοῦ τόπου. Διεκρίνετο δὲ ὁ μακάριος διὰ τὸ ἀκέραιον τοῦ χαρακτῆρός του καὶ τὴν ἁπλότητα τοῦ ἤθους, καὶ γενικῶς διὰ τὸν ἄπλαστον καὶ εὐθὺν τρόπον καὶ λοιπὰ Χριστιανικὰ προτερήματα, διὰ τῶν ὁποίων κατεκοσμεῖτο καὶ ἐλαμπρύνετο, καὶ τόπον τινὰ ἐφαίνετο «ὡς δένδρον πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων».

Παρελθόντος ἀρκετοῦ καιροῦ προσεκολλήθη εἴς τινα τῶν ἀξιωματικῶν τοῦ Ἐμὶν Πασᾶ υἱοῦ, τοῦ Κιουταχῆ, Χατζῆ'Αβδουλὰχ καλούμενον, ὑφ' ὃν διετέλεσεν ὡς ἱπποκόμος ἐπὶ ὀκτὼ ἔτη, τὸν ὁποῖον καὶ ἠκολούθησε, μετατεθέντα κατόπιν εἰς Παραμυθίαν, πολιτευόμενος Χριστιανικῶς, καὶ συχνάζων, ὁπότε ηὐκαίρει, εἰς τὴν Ἐκκλησίαν διὰ τὰ θρησκευτικά του καθήκοντα.

Οἱ Ὀθωμανοὶ βλέποντες αὐτὸν ἁπλοῦν καὶ ἄκακον καὶ πρᾶον δὲν τὸν ἐκάλουν διὰ τοῦ ὀνόματός του, ἀλλ' ἐφώνουν αὐτὸν διὰ τοῦ Τουρκικοῦ, Χασάν, καὶ πρὸς περισσοτέραν θλῖψίν του προσέθηκαν καὶ τό, Γκιαοὺρ Χασάν, (ἤτοι ἄπιστε Χασάν), ἐλπίζοντες διὰ τούτου σὺν τῷ χρόνῳ νὰ τὸν ἑλκύσουν εἰς τὴν θρησκείαν των. Ἀλλ' ὁ Γεώργιος, καίτοι ἁπλοῦς καὶ ἀμαθὴς καὶ μικρὸς τὴν ἡλικίαν, τὸν βαρύτιμον ὅμως θησαυρὸν τῆς εὐσεβείας κατεῖχεν ἀσφαλῶς ἐν τῇ καρδίᾳ του, διὸ καὶ διεμαρτύρετο ἐντόνως ὅτι οὔτε Χασάν, οὔτε Γκιαοὺρ Χασὰν ἦτο, ἀλλὰ Γεώργιος Κωνσταντίνου, καὶ ἵστατο στερεὸς εἰς τὴν ὁμολογίαν τῆς ἀμωμήτου καὶ ἁγίας ἡμῶν πίστεως, καταφρονῶν τελείως τὰς συκοφαντίας καὶ λοιπὰς λοιδορίας τῶν ἀσεβῶν, καὶ μηδεμίαν πτόησιν λαμβάνων βλέπων τὴν δύναμιν αὐτῶν, καὶ τὰς πιέσεις καὶ κακώσεις καὶ ὀνειδισμοὺς τῶν ὁμοφύλων του Χριστιανῶν.

Κατὰ τὸ 1836 ὁ Ἐμὶν Πασᾶς διωρίσθη τὸ δεύτερον διοικητὴς εἰς Ἰωάννινα, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν ἀξιωματικὸν Χατζῆ Ἀβδουλάχ, ὑπὸ τὴν ὑπηρεσίαν τοῦ ὁποίου διετέλει ὡς ἱπποκόμος ὁ Γεώργιος. Ἐνταῦθα κατὰ μῆνα Ὀκτώβριον τοῦ αὐτοῦ ἔτους, κατόπιν παρακινήσεως φίλων του, ἠρραβωνίσθη νέαν τινὰ ὀνόματι Ἑλένην, ἐνάρετον καὶ φοβουμένην τὴν Θεόν, πλὴν ὀρφανὴν γονέων καὶ τελοῦσαν ὑπὸ τὴν προστασίαν τῆς θείας της Θεοφανοῦς. Εἶχεν ἡ Ἑλένη καὶ δύο ἀδελφούς, τὸν Ἀλέξιον καὶ Κωνσταντῖνον.

Ἀλλὰ κατὰ τὴν ἡμέραν τῶν ἀρραβώνων του, Ὀθωμανός τις, Χότζας, ὅστις ἐγνώριζε τὸν Ἅγιον ἐκ τῶν προτέρων, καὶ μάλιστα διὰ τὴν ὀνομασίαν μὲ τὴν ὁποίαν τὸν ἐκάλουν οἱ ὁμόφυλοί του, οἰστρηλατούμενος ὑπὸ θρησκευτικοῦ ζήλου, ἐνόμισε τὴν στιγμὴν κατάλληλον, μαθὼν τὴν μνηστείαν τοῦ Γεωργίου μετὰ τῆς

1. Ἤδη καλεῖται «Ἅγιος Γεώργιος» μετονομασθὲν πρὸς τιμὴν τοῦ Ἁγίου.

www.tezaurliturgic.ro



Ἑλένης, διὰ νὰ τὸν ἐκβιάσουν εἰς ἐξισλαμισμὸν διὰ πλεκτάνης καὶ συκοφαντίας. Συναντηθεὶς λοιπὸν μετὰ τοῦ Ἁγίου, τῷ λέγει ἀποτόμως· «Βρέ, πῶς σὺ Τοῦρκος ὢν θέλεις νὰ λάβῃς Χριστιανὴν γυναῖκα»; Ὁ ἅγιος Μάρτυς ἀπεκρίθη: «Ἐγὼ ὡς Χριστιανὸς ποὺ εἶμαι ζητῶ νὰ λάβω καὶ σύζυγον ὁμόπιστόν μου Χριστιανήν». Τότε ἐκεῖνος ἔδραμεν ἀμέσως μανιώδης εἰς τὸν Μεχκεμὲν (τὸ Τουρκικὸν δικαστήριον), καὶ κατηγόρησε τοῦ Γεωργίου, συκοφαντήσας αὐτὸν καὶ εἰπὼν ὅτι «Ὀθωμανός τις ζητεῖ νὰ νυμφευθῇ νέαν Χριστιανήν, ἐνῷ ἐγὼ τὸν γνωρίζω καλῶς διὰ Τοῦρκον». Καὶ διηγήθη ὡς αὐτὸς ἠθέλησε τὴν ὑπόθεσιν, παραστήσας συγχρόνως καὶ τὸν Γεώργιον, ὅστις καὶ ἠρωτήθη ἂν οὕτως ἔχῃ ἡ ἀλήθεια. Ὁ Μάρτυς ἀπέδειξε διὰ τῆς ὁμολογίας του ἑαυτὸν ἀθῷον τῶν κατηγοριῶν, προσθέσας ὅτι πάντοτε Χριστιανὸς ὑπῆρξε καὶ οὐδέποτε ἐξώμοσεν. Ὁ Δικαστὴς τότε τὸν ἠπείλησε καὶ τῷ λέγει· «Οὗτος (δεικνύων τὸν κατήγορόν του) καταμαρτυρεῖ ὅτι ἔγινες Τοῦρκος, ἄρα ἡ μαρτυρία αὐτοῦ εἶναι ἀληθής». «Ὄχι, ἀποκρίνεται ὁ Μάρτυς, οἱ λόγοι αὐτοῦ εἶναι ψευδεῖς, ἐγὼ Χριστιανὸς ἤμην καὶ ἔσομαι», καὶ συγχρόνως ἐποίησε τὸ σημεῖον τοῦ Τιμίου Σταυροῦ, πρὸς ἐπιβεβαίωσιν τῶν λόγων του.

Κατ' ἐκείνην τὴν στιγμὴν ἔτυχε νὰ εὑρεθῇ πλησίον τοῦ Ἁγίου Μάρτυρος, εἰλικρινής τις φίλος του, γνωρίζων ἀπταίστως τὴν Τουρκικὴν διάλεκτον, καὶ διὰ φυσικῆς εὐτολμίας πεπροικισμένος, ἀντέκρουεν εὐστόχως τὰς ἐν πολλοῖς ὑπούλους ἐρωτήσεις τοῦ δικαστοῦ, διότι ὁ Μάρτυς ἦτο ἐκ φύσεως ὀλιγόλογος. Τοιούτου, φίλου, κατὰ τὴν θείαν Γραφήν, «οὐκ ἔστι, πράγματι, ἀντάλλαγμα τῶν ὄντων οὐδέν, οὐδέ τις σταθμὸς τῆς καλλονῆς αὐτοῦ»· διότι ἐφάνη ἐν τοιαύτῃ στιγμῇ, κατὰ τὴν αὐτὴν πάλιν θείαν Γραφήν, «σκέπη κραταιά, ὠχυρωμένον βασίλειον, θησαυρὸς ἔμψυχος», δείξας ἐμπράκτως τὸν ἀκρότατον ὅρον τῆς πρὸς τὸν πλησίον ἀγάπης ὡς λέγει ὁ Κύριος· «Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ». Βλέπων ὁ δικαστὴς τὰ γινόμενα, ἔκρινεν εὔλογον ν' ἀποσταλῇ ὁ Μάρτυς εἰς τὸν Βεζύρην, (ἀνώτερον λειτουργὸν τῆς Ὀθωμανικῆς ἐν Ἰωαννίνοις τότε ἐξουσίας), ὅπου ἠρωτήθη σχετικῶς, ἀλλὰ καὶ ἐνταῦθα ἀπήντησεν εὐθαρσῶς, καθὼς καὶ εἰς τὸν Μεχκεμέν.

Πληροφορηθεὶς ὁ Βεζύρης ὅτι ὁ Γεώργιος ὑπηρετεῖ παρὰ τῷ Χατζῇ Ἀβδουλάχ, προσεκάλεσε τοῦτον ὡς προϊστάμενον του πρὸς ἐξακρίβωσιν τῆς ἀληθείας. Οὗτος ἐλθὼν διεβεβαίωσε τὸν Βεζύρην, ὅτι ὁ Γεώργιος ὑπῆρξε πάντοτε Χριστιανός, καὶ τοιουτοτρόπως ἠλευθερώθη τότε ὁ Μάρτυς τῆς ἐπινοηθείσης συκοφαντίας, καὶ ἐνεγράφη τῇ προσταγῇ τοῦ ἡγεμόνος ὑπὸ τοῦ κριτοῦ, εἰς τὸν κατάλληλον κώδικα ὡς Χριστιανός.

Λυτρωθεὶς ὁ Γεώργιος «ἐκ τῆς παγίδος τῶν θηρευότων», κατὰ τὸν Δαβίδ, ἐνυμφεύθη κατὰ Ἰανουάριον τοῦ 1837 τὴν εἰρημένην Ἑλένην, καὶ μετὰ παρέλευσιν ὀλίγων ἡμερῶν ἀνεχώρησεν ἐξ Ἰωαννίνων ὁ Ἐμὶν Πασᾶς καὶ ὁ Χατζῇ Ἀβδουλάχ, ἀκολουθοῦντος κατ' ἀνάγκην καὶ τοῦ Γεωργίου, καὶ μετέβησαν εἰς Προῦσαν. Παραμείνας ἐνταῦθα ὁ Μάρτυς ἓν σχεδὸν ἔτος, ἀπελύθη κατ' αἴτησίν του ἐκ τῆς ὑπηρεσίας τοῦ Χατζῇ Ἀβδουλάχ, καὶ ἐπανέκαμψεν εἰς Ἰωάννινα, ἔνθα παραμείνας πλησίον τῶν οἰκείων του ὀλίγας ἡμέρας, προσεκολλήθη ὡς ἱπποκόμος εἰς τὸν διορισθέντα τότε Μουσελίμην τῶν Φιλιατῶν, ὑπὸ τοῦ νέου διοικητοῦ Ἰωαννίνων Μουσταφᾶ Πασᾶ, καὶ ἠκολούθησε τὸν νέον αὐθέντην του εἰς Φιλιάτας.

www.tezaurliturgic.ro



